# ΟΜΙΛΙΑΙ

ΕΙΣ ΤΗΝ

# ΘΕΙΑΝ ΚΑΙ ΙΕΡΑΝ

# ΛΕΙΤΟΥΡΓΙΑΝ.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,

Τύποις Ἀντωνίου Κορομηλᾶ καὶ Πλάτωνος Πασπαλλῆ.

1856.

547

ΤΗ͂

ΙΕΡΑ͂ ΚΑΙ ΘΕΣΠΕΣΙΑ͂ ΣΥΝΩΡΙΔΙ

ΤΩΝ ΟΜΩΝΥΜΩΝ ΤΕ ΚΑΙ ΟΜΟΖΗΛΩΝ ΠΑΤΡΙΑΡΧΩΝ,

ΚΥΡΙΛΛΩ͂ ΤΩ͂ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΚΑΙ

ΚΥΡΙΛΛΩ͂ ΤΩ͂ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΚΑΙ

ΤΗ͂ ΕΝΔΗΜΟΥΣΗ͂ ΙΕΡΑ͂ ΚΑΙ ΑΓΙΑ͂

ΣΥΝΟΔΩ͂

ΤΩΝ ΣΕΒΑΣΜΙΩΤΑΤΩΝ ΜΗΤΡΟΠΟΛΙΤΩΝ

ΤΟΥ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΘΡΟΝΟΥ,

ΚΑΙ ΠΑΣΙ ΤΟΙΣ ΔΙΑ ΤΗΣ ΠΑΡΟΥΣΙΑΣ ΑΥΤΩΝ

ΤΕΤΙΜΗΚΟΣΙ ΤΑΣ ΕΝ ΕΤΕΙ ͵ΑΩΝϚʹ ΔΙΔΑΚΤΟΡΙΚΑΣ ΕΞΕΤΑΣΕΙΣ

ΤΗΣ ΕΝ ΧΑΛΚΗ͂ ΘΕΟΛΟΓΙΚΗΣ ΣΧΟΛΗΣ ΤΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ

ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ,

ΑΝΔΡΑΣΙ ΖΗΛΩΤΑΙΣ ΜΕΝ ΤΗΣ ΕΥΣΕΒΕΙΑΣ,

ΜΕΓΑΤΙΜΟΙΣ ΔΕ ΕΥΕΡΓΕΤΑΙΣ ΚΑΙ ΚΗΔΕΜΟΣΙΝ,

Οἱ κατὰ τὸ ἔτος τοῦτο ἀναγορευθέντες ἕνδεκα Διδάκτορες τῆς Ἱερᾶς Ὀρθοδόξου Θεολογίας

Τὴν κατανυκτικὴν ταύτην ἑβδομάδα τῶν λόγων

Εὐγνωμοσύνης ἁπάσης ἕνεκα

Κοινῇ συνεκδόντες

Πανευλαβῶς ἀνέθηκαν.

Ἐν Χάλκῃ τῇ ή. Ἰουλίου.

SISMANOGLIO

# ΟΜΙΛΙΑΙ
ΕΙΣ ΤΗΝ
## ΘΕΙΑΝ ΚΑΙ ΙΕΡΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

## ΛΟΓΟΣ Α΄.

« Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν ».
Λουκ. ΚΒ΄. 19.

Καὶ εἰ μὴ κατέλειπεν ὁ Κύριος τὴν θείαν ταύτην παραγγελίαν, πάντοτε ὅμως οἱ πεπιστευκότες ὀφείλουσιν ἵνα τιμῶσιν αὐτὸν δι' εὐσεβοῦς αὐτοῦ ἀναμνήσεως· διότι ἐὰν οἱ ἐπίγειοι βασιλεῖς, ὅσοι πατέρες τῶν ὑπηκόων αὐτῶν ἐχρημάτισαν καὶ τῶν λαῶν εὐεργέται, καθίστανται ἄξιοι δικαίας εὐγνωμοσύνης παρὰ τοῖς μεταγενεστέροις, ἀπείρως πλέον ἄξιος τῆς ἐγκαρδίου ἀγάπης καὶ εὐγνώμονος ἀναμνήσεως εἰς πᾶσαν τὴν ἀνθρωπότητα ἐγένετο ὁ οὐράνιος Βασιλεὺς, ὁ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ δωρησάμενος ἡμῖν τὴν χάριν τῆς υἱοθεσίας, καὶ ὑψώσας τὴν ἀνθρωπίνην φύσιν ἕως τῆς δόξης τῆς ἀϊδίου θείας φύσεως. Ἀλλ' ὁ Σωτὴρ ἡμῶν, ὁ Κύριος Ἰησοῦς Χριστὸς, ἐκ τοῦ περισσεύματος τῆς θείας αὐτοῦ ἀγάπης, ἐκτὸς τῶν ἀνεκφράστων καὶ ἀναριθμήτων εὐεργεσιῶν, ηὐδόκησεν ἔτι ἐπὶ τοῦ τέλους τῆς ἐπιγείου αὐτοῦ ζωῆς ἵνα ἐγκαταλείψῃ τοῖς πεπιστευκόσι παραγγελίαν τῆς ἀναμνήσεως αὐτοῦ, ὡς μαρτυρίαν τῆς ἀχωρίστου αὐτοῦ μεθ' ἡμῶν διαμονῆς. Ἀπερχόμενος πρὸς τὸν ὁμοούσιον αὐτοῦ πατέρα, ἐπὶ τοῦ τελευταίου μετὰ τῶν μαθητῶν αὐτοῦ δείπνου, ἐξέφρασεν εἰς χαρὰν καὶ παραμυθίαν αὐτοῖς τε καὶ παντὶ τῷ τῶν Χριστιανῶν γένει τὴν ἑξῆς πλήρη οὐρανίου ἀγάπης ἐντολήν. « Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. »

Μηδεὶς ὑπολάβῃ, ὅτι τὴν τοιαύτην τοῦ Κυρίου ἀνάμνησιν ὤφειλον ἐπιτελεῖν μόνον οἱ μαθηταὶ τοῦ Κυρίου, οἱ θεῖοι Ἀπόστολοι. Διότι ὁ Κύριος οὐκ εἶπε τοῖς Ἀποστόλοις «ὑμεῖς» ὀνομαστὶ, ἢ «ὑμεῖς μόνοι ποιεῖτε». Μόνοι μὲν οἱ Ἀπόστολοι ἦσαν τότε ἐπὶ τοῦ δείπνου σὺν τῷ Χριστῷ· ἀλλ' ὁ Σωτὴρ πάντοτε σχεδὸν ἔβλεπε τὸν χορὸν τῶν μαθητῶν αὐτοῦ, ὡς τὸν ὅλον σύλλογον τῶν πιστῶν· καὶ ἂν

SISMANOGLIO MEGARO

αὐτὸς μετὰ τὸν δεῖπνον ἐν τῇ ἁγιωτάτῃ αὐτοῦ πρὸς τὸν πατέρα προσευχῇ ἀνατίθησιν εἰς τὴν θείαν πρόνοιαν οὐ μόνον τοὺς ἑαυτοῦ μαθητάς, ἀλλὰ καὶ πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας· ἐὰν λέγῃ «οὐ περὶ τούτων δὲ (τῶν μαθητῶν) ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ» (α). Οὐκ ἔστιν ἄρα φανερὸν, ὅτι ἡ παραμυθητικὴ ἐντολὴ τῆς τοῦ Κυρίου ἀναμνήσεως ἀναφέρεται οὐχὶ πρὸς μόνον τοὺς Ἀποστόλους, ἀλλὰ καὶ πρὸς πάντας τοὺς πιστεύοντας; ὅθεν καὶ ὁ Ἀπόστολος Παῦλος τὸ ἱερὸν τῆς τοῦ Χριστοῦ ἀναμνήσεως καθῆκον ἀπαγγέλλει ἤδη καὶ πρὸς τὸν Τιμόθεον, ὅςις οὐκ ἦν ἐν τῷ δείπνῳ. «Μνημόνευε, λέγει, Ἰησοῦν Χριστόν» (β)· καὶ πρὸς τοὺς Κορινθίους, πρὸς οὓς γράφει περὶ τῆς διατάξεως τοῦ μυστικοῦ δείπνου «ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ἡμῖν» κτλ. (γ)

Εἰς τί δὲ ἄρα συνίσταται ἡ ἀνάμνησις τοῦ Σωτῆρος ἡμῶν; εἰς μόνην ἄρά γε τὴν παράστασιν τοῦ νοὸς καὶ τῆς μνήμης; οὐχί. Ὁ Σωτὴρ οὐκ ἐπιθυμεῖ, ἵνα ἐν τῇ ἁγίᾳ πράξει τῆς αὐτοῦ ἀναμνήσεως ἐνεργῇ μόνον ὁ νοῦς, μόνον ἡ μνήμη τοῦ ἀνθρώπου, ἀλλ' ἅπας ὁ ἄνθρωπος, ἐμψυχούμενος διὰ τῆς πίστεως τοῦ πνεύματος καὶ τῆς ἀγάπης τῆς καρδίας· ὅθεν οὐκ εἶπε μόνον «ἀναμιμνήσκεσθέ μου», ἀλλὰ «τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.» Τί δὲ «ποιεῖτε;» ἐκεῖνο, ὅπερ ἐποίησεν αὐτὸς ὁ Κύριος, ὁ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, ὅτε, λαβὼν ἐν τῷ δείπνῳ τὸν ἄρτον, ἔκλασε καὶ ἔδωκε τοῖς μαθηταῖς, λέγων· «λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου·» οὕτω καὶ τὸ ποτήριον τοῦ οἴνου μεταδιδοὺς αὐτοῖς, εἶπε· «πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐςι τὸ αἷμά μου.» (δ) καὶ οὕτως ἐνετείλατο ὁ Κύριος ἵνα ἀναμιμνησκώμεθα αὐτοῦ, ἐπαναλαμβάνοντες τὸν ἅγιον αὐτοῦ δεῖπνον, θεωροῦντες νοερῶς διὰ τῆς ἐπαναλήψεως ταύτης τὰ πάθη αὐτοῦ καὶ τὸν θάνατον, καὶ μεταλαμβάνοντες τοῦ ἀχράντου αὐτοῦ σώματος καὶ αἵματος.

Ὁποία ἐπίσημος καὶ ἐπιφανὴς ἀνάμνησις! ὁποία ἀνεκτίμητος παραγγελία! Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διέταξεν ἡμῖν ἵνα ἐνθυμώμεθα οὐχὶ τὸ ὕψος τῆς αὐτοῦ διδασκαλίας, οὐχὶ τὴν δόξαν τῶν ἔργων αὐτοῦ, ὡς ποιοῦσιν οἱ μεγάλοι τοῦ κόσμου, ἀλλὰ τὸ

(α) Ἰωαν. ΙΖ'. 20. (β) Β'. Τιμοθ. Β'. 8. (γ) Α'. Κορινθ. ΙΑ'. 23. (δ) Ματθ. Κς'. 26—28.

SISMANOGLIO



ἄκρον ὕψος τῆς πρὸς τὸ ἀνθρώπινον γένος ἀγάπης αὐτοῦ, τὸ ἑκούσιον πάθος καὶ τὸν ὑπὲρ ἡμῶν θάνατον αὐτοῦ, τὴν θείαν θυσίαν, τὴν προσενεχθεῖσαν δι' αὐτοῦ ἐπὶ τοῦ Γολγοθᾶ πρὸς καθαρισμὸν τῶν ἁμαρτιῶν τῶν ἀνθρώπων. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς χωριζόμενος ὁρατῶς ἀπὸ τῶν πιστῶν, διέταξεν αὐτοῖς πᾶν ὅ,τι πολύτιμον, ἔδωκεν αὐτοῖς αὐτὸς ἑαυτόν. Καθὼς τὴν ψυχὴν αὐτοῦ ἔθηκεν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας, οὕτω καὶ τὸ ἄχραντον σῶμα καὶ τὸ τίμιον αὐτοῦ αἷμα ἔδωκε τοῖς πιστοῖς εἰς ἐπίσημον ἀνάμνησιν τοῦ θανάτου αὐτοῦ, καὶ εἰς ἀῤῥαβῶνα τῆς αἰωνίου ζωῆς διὰ μόνους τοὺς πιστούς. «Φάγετε, εἶπε, τὸ σῶμά μου, καὶ πίετε τὸ αἷμά μου εἰς τὴν ἐμὴν ἀνάμνησιν» (α). Φάγετε τὸ σῶμά μου καὶ πίετε τὸ αἷμά μου, «ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστὶ βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστὶ πόσις. (β) Φάγετε τὸ σῶμά μου καὶ πίετε τὸ αἷμά μου· «ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον.» (γ) Φάγετε τὸ σῶμα μου καὶ πίετε τὸ αἷμα μου· ὡς εἰ ἔλεγεν ὁ Σωτήρ: ἐγὼ ἔλαβον παρ' ὑμῶν τὴν ἀνθρωπίνην σάρκα καὶ τὸ αἷμα, ἵνα μὴ ἐπιλάθωμαι ὑμῶν κατὰ τὸ ἔλεός μου· λάβετε καὶ ὑμεῖς παρ' ἐμοῦ τὸ θεῖον σῶμα καὶ αἷμα, ἵνα πάντοτε μνημονεύητέ μου διὰ τῆς ὑμῶν πίστεως καὶ ἀγάπης.

Ὑπῆρξέ ποτε ἐν τῷ κόσμῳ ἐντολὴ ὁμοία ταύτῃ τῇ θείᾳ ἐντολῇ, ἐν ᾗ αὐτὸς οὗτος ὁ ἐντελλόμενος ηὐδόκησεν ἵνα μένῃ ἀχώριστος ἀπὸ τῶν πρὸς οὓς διέθετο; Πόσον γλυκεῖα διὰ τὸν ἄνθρωπον ἡ τοιαύτη ἀνάμνησις, ἐν ᾗ μετέχουσι πᾶσαι αἱ τοῦ ἀνθρώπου δυνάμεις καὶ πᾶσαι αἱ αἰσθήσεις, ὁπόταν ὁ μνημονεύων οὐ μόνον βλέπῃ ἐνώπιον αὐτοῦ τὸν μνημονευόμενον, ἀλλὰ καὶ μυστηριωδῶς ἑνοῦται μετ' αὐτοῦ; «ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ(δ)» εἶπεν ὁ Κύριος.

Ἡ ἁγία ἐκκλησία ἀξίως ἐπέστησε τὴν προσοχὴν εἰς τὴν θείαν ταύτην ἐντολὴν τοῦ Λυτρωτοῦ αὐτῆς. Οἱ πιστοὶ μετ' ἄκρας προθυμίας καὶ ἀγάπης παρέλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ τὸ πολύτιμον τοῦτο δῶρον· διότι ἀμέσως μετὰ τὴν τοῦ Σωτῆρος ἀνάληψιν ἤρξαντο μνημονεύειν τὸν μηδέποτε λησμονούμενον δεῖπνον αὐτοῦ,

(α) Λουκ. ΚΒ'. 19. (β) Ἰωαν. ς'. 55. (γ) Αὐτόθι. 54. (δ) Αὐτόθι. 56.

ἐπαναλαμβάνοντες τὴν μηδέποτε ἐπαναληφθῆναι δυναμένην ἐξαγοραστικὴν θυσίαν· ἤρξαντο ἐπιτελεῖν κατὰ τὸ θεῖον αὐτοῦ πρόσταγμα τὴν ἁγίαν εὐχαριστίαν καὶ μεταλαμβάνειν τοῦ ἀχράντου αὐτοῦ σώματος καὶ τοῦ τιμίου αἵματος· « ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, λέγει ὁ συγγραφεὺς τῶν πράξεων τῶν ἀποστόλων, συνηγμένων τῶν μαθητῶν τοῦ κλάσαι ἄρτον »(α). Ὁποῖον ἄρτον; ἐκεῖνον τὸν ζῶντα καὶ οὐράνιον, περὶ οὗ εἶπεν ὁ Χριστὸς « ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα » καὶ « ὁ ἄρτος δέ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστί. » (β) Καὶ ὁ Ἀπόστολος Παῦλος μνημονεύει περὶ αὐτοῦ τούτου τοῦ ἄρτου, ἀκριβῶς ἐκτιθέμενος καὶ αὐτὴν τὴν ἐκτέλεσιν τοῦ μυστηρίου ἐπὶ τῶν ἀποστολικῶν χρόνων· « τὸ ποτήριον τῆς εὐλογίας, λέγει, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστί; τὸν ἄρτον, ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστίν (γ); Ἵνα δὲ ἐν τῇ ἐκτελέσει τῆς εὐχαριστίας παράσχῃ τοῖς πιστοῖς πλήρη καὶ ἀκεραίαν τὴν ἀνάμνησιν τοῦ Λυτρωτοῦ, καὶ ἐνώπιον τῶν ὀφθαλμῶν τῆς πίστεως ἀποκαλύψῃ πᾶσαν τὴν θείαν οἰκονομίαν τῆς τοῦ ἀνθρώπου σωτηρίας, ἡ ἁγία τοῦ Χριστοῦ ἐκκλησία, ἐξ αὐτῶν τῶν πρώτων αὐτῆς ἡμερῶν ἐπισυνῆψε πολλὰς ἄλλας ἱεροπραξίας, αἵτινες εἰκονίζουσι καὶ ὑπενθυμίζουσι πάντα τὰ σπουδαῖα τῆς ζωῆς τοῦ Σωτῆρος συμβάντα, δι᾽ ὧν ἐξετελέσθη τὸ μέγα ἔργον τῆς ἀνθρωπίνης ἀπολυτρώσεως· καὶ τοῦτο ἀποδεικνύει κατά τι τὸ ἑξῆς χωρίον τῆς βίβλου τῶν πράξεων τῶν Ἀποστόλων. « Ἦσαν δὲ προσκαρτεροῦντες, τουτέστιν οἱ πιστοί, τῇ διδαχῇ τῶν Ἀποστόλων καὶ τῇ κοινωνίᾳ καὶ τῇ κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς » (δ).

Τοιουτοτρόπως ἐκ τῆς συνηρμολογημένης ἐπιτελέσεως τῶν κοινῶν προσευχῶν, τῶν διδαχῶν, τῆς ἁγίας εὐχαριστίας, καὶ τῶν ἄλλων ἱεροπραξιῶν ἀπηρτίσθη ἡ πρώτη καὶ σπουδαιοτάτη τῶν Χριστιανῶν λατρεία, ἣν ἡ ἁγία ἐκκλησία ἤκουσεν ἐξ αὐτοῦ ἔτι τοῦ στόματος τοῦ ἁγίου Ἀποστόλου Ἰακώβου, τοῦ πρώτου Ἱεράρχου τῶν Ἱεροσολύμων· ἐν δὲ τοῖς ἐφεξῆς χρόνοις, πληρέστερον συγκεκροτημένην καὶ περιλαμβάνουσαν πάντα τὰ κεφαλαιώδη συμ-

(α) Κ΄. 7. (β) Ἰωαν. ϛ΄. 51, (γ) Α΄. Κορινθ. Ι΄. 16. (δ) Β΄. 42.

SISMANOGLIO MEGARO



βάντα κατὰ τὸ μυστήριον τῆς ἀπολυτρώσεως, παρέλαβε καθάπαξ παρὰ τῶν ἱερῶν καὶ ἁγίων χειρῶν τῶν μεγάλων οἰκουμενικῶν ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. Αὕτη τῶν Χριστιανῶν ἡ λατρεία καλεῖται λειτουργία· οὐ πόῤῥω δὲ τῆς συνήθους ἐκδοχῆς ἡ λατρεία αὕτη ὀνομάζεται καὶ δεῖπνος· διότι ὁ ἅγιος δεῖπνος διὰ τοὺς πιστούς, ὡς «υἱοὺς φωτὸς καὶ ἡμέρας » (α), ἔστιν ἤδη πληρέστατα δεῖπνος, ὥς τις τῶν τοῦ Εὐαγγελίου ἀκροατῶν εἶπε τῷ Χριστῷ « Μακάριος, ὃς φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. » (β)

Μακάριοι καὶ ἡμεῖς, ἐπαναλαμβάνομεν τὰ εὐαγγελικὰ λόγια, χριστιανοί· μακάριοι ἡμεῖς, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐνετείλατο ἡμῖν τὴν σωτηριώδη αὐτοῦ ἀνάμνησιν, καὶ ὅτι συνέστησε δι᾽ ἡμᾶς τὸ μυστήριον τῆς κοινωνίας τοῦ ἀχράντου σώματος καὶ αἵματος αὐτοῦ! μακάριοι ἡμεῖς, ὅτι ἡ ἁγία ἐκκλησία, κατὰ τὴν θείαν αὐτοῦ ἐντολήν, ἕως τοῦ νῦν ἐπιτελεῖ τὸ μέγα τοῦτο μυστήριον, καὶ προβάλλει ἡμῖν τοῦτο ἐν τῇ θείᾳ λειτουργίᾳ! μακάριοι, ὅσοι ἐξ ἡμῶν μετὰ θερμῆς πρὸς τὸν Λυτρωτὴν πίστεως ἀγαπῶσιν ἵνα συμμερίζωνται μετὰ τῆς ἐκκλησίας τὴν μυστηριώδη ταύτην ἀνάμνησιν! μακάριοι, ὅσοι ἐξ ἡμῶν διὰ τὴν ἀγάπην τοῦ Σωτῆρος ἐντελῶς κατέχουσι τὰ οὐράνια δῶρα, καὶ μετὰ Χριστιανικοῦ ζήλου σπεύδουσι πρὸς τὴν ἀθάνατον ταύτην καὶ θείαν τράπεζαν!

Σπεύσωμεν τοίνυν, ἀδελφοί, πάντες πρὸς τὴν πηγὴν τῆς ζωῆς καὶ τῆς σωτηρίας! ἐπιστραφῶμεν πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν! ἐν ταύταις ταῖς μεγάλαις ἡμέραις ἐκεῖνος ἐστὶν ἔγγιστα ἡμῶν διὰ τῆς αὐτοῦ χάριτος. Ἡ ἁγία ἐκκλησία ἤδη ἤνοιξε τὸ θησαυροφυλάκιον, ἐκτείνει τὴν χεῖρα, ὅπως δωρήσηται καὶ ἡμῖν τὸν πολύτιμον Μαργαρίτην, τὸν Χριστόν· καὶ ἵνα γνῶμεν πόσον μέγας, φαεινὸς καὶ πολύτιμός ἐστιν ὁ θεῖος οὗτος Μαργαρίτης, ἁψώμεθα εὐσεβῶς τῆς μυστηριώδους κιβωτοῦ, ὑπανοίξωμεν μικρὸν τὸ ἱερὸν αὐτῆς κάλυμμα, προσδιατρίψωμεν, λέγω, εἴς τινας διασαφήσεις τῶν σπουδαίων ἱερουργιῶν τῆς θείας λειτουργίας, τῆς Χριστιανικῆς ταύτης λατρείας, ἧς ψυχή, οὐσία καὶ δύναμις ὑπάρχει τὸ μυστήριον τῆς ἁγίας εὐχαριστίας, καὶ διὰ τούτων τῶν ἁγίων ἐνασχο-

(α) Α΄. Θεσ. Ε΄. 5. (β) Λουκ. ΙΔ΄. 15.

λήσεων ἁγιάσωμεν τὰς ἀναστασίμους ἡμέρας τῆς παρούσης ἁγίας νηστείας. Ἀμήν.

# ΛΟΓΟΣ Β'.

« Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος ».

Τοιαύτη ἡ ἀρχὴ τῆς θείας λειτουργίας! ἤδη ἐν τοῖς προπυλαίοις, οὕτως εἰπεῖν, τοῦ Ναοῦ ἐπιφαίνεται πᾶσα ἡ λαμπρότης τοῦ κεχαριτωμένου οἴκου τοῦ Θεοῦ· ἤδη ἐν αὐτῷ τῷ προοιμίῳ τῆς λειτουργίας τῆς ὑψηλῆς ταύτης ἱλαστηρίου καὶ μυστηριώδους τελετῆς ἡ ἱερὰ φωνὴ ἀναγγέλλει ἡμῖν, ὅτι ἑτοιμαζόμεθα πρὸς τὴν μεγάλην καὶ οὐράνιον θεωρίαν, ὅτι τὰ μυστηριώδη φαινόμενα, ἓν μετὰ τὸ ἄλλο, μεταδώσουσιν ἡμῖν τὴν δόξαν τῆς Βασιλείας τοῦ Θεοῦ. Ναί, ἀδελφοί, ἡ ἁγία λειτουργία εἰκονίζει ἡμῖν τὴν ἀόρατον οὐράνιον Βασιλείαν, ἣν οὐ μόνον προσήγγισεν ἡμῖν, (α) ἀλλὰ καὶ ἐστερέωσεν ἐπὶ τῆς γῆς ὁ ἐνσαρκωθεὶς ἐπουράνιος Βασιλεύς. Ἡ ἁγία λειτουργία, ἡ Θεοσύστατος αὕτη Ἱερουργία, ὡς ζῶσα εἰκὼν τῆς ἐπιγείου ζωῆς τοῦ Ἰησοῦ Χριστοῦ, μετὰ ἐντελοῦς τάξεως παρίστησιν ἐν ταῖς ἱεροπραξίαις αὐτῆς πάντα τὰ σπουδαῖα συμβάντα ἀπὸ τῆς γεννήσεως τοῦ Σωτῆρος μέχρι τῆς αὐτοῦ ἀναλήψεως, ὡς τοῦτο ὁμολογεῖ καὶ αὐτὴ ἡ ἐκκλησία: « Μεμνημένοι τοίνυν, λέγει ἐφάπαξ ὁ ἱερουργῶν, τῆς σωτηρίου ταύτης ἐντολῆς (τοῦ Χριστοῦ), καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ Σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου Ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας. » (β) Μετὰ ποίων δὲ αἰσθημάτων ἡ ἁγία Ἐκκλησία προσέρχεται πρὸς τὴν μυστηριώδη ἀποκάλυψιν τῆς Βασιλείας τοῦ Θεοῦ; ἀπὸ τίνος ἄρχεται ἡ ἱερὰ λειτουργία; ἀπὸ τῆς εὐλογίας τοῦ Θεοῦ καὶ τῆς δόξης τῆς θείας αὐτοῦ Βασιλείας, τῆς ἐνδόξου μὲν ἐν οὐρανῷ, κεχαριτωμένης δὲ ἐπὶ τῆς γῆς· εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. « Εὐλογητὸς ὁ

(α) Ματθ. Δ'. 17. (β) Εὐχ. τῆς λειτουρ.



Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ. » (Ἐφεσ. Α'. 3.)

Ἀλλ' αὕτη ἐστὶν ἆρά γε ἡ πρώτη ἀρχὴ τῶν θείων ἱερουργιῶν; ὅτε ὁ λαὸς ἵσταται ἐν τῷ Ναῷ ἐν προσδοκίᾳ τῆς ἀνακεκαλυμμένης ἱλαστηρίου λατρείας· ὅτε τὸ ἅγιον θυσιαστήριον εἰσέτι ὑπάρχει κεκαλυμμένον, ὡς ἀπρόσιτος ἁγιότης· ὅτε οὐδεὶς τῶν λειτουργῶν τοῦ μυστηρίου φαίνεται εἰς τὰ ὄμματα τῶν παρεστώτων· νομίζετε ἆρά γε, ὅτι οὔπω ἤρξατο ἡ μεγάλη ἱερουργία; ἐξ ἐναντίας, τὸ ἅγιον θυσιαστήριον ἤδη ὅλως περιηχεῖται ὑπὸ τῆς λατρείας τοῦ Θεοῦ, κατ' ἰδίαν τελουμένης, καὶ ὑπ' αὐτοῦ μόνου κατανοουμένης. Ὁ κεχαριτωμένος Θύτης, ἐνδεδυμένος τὴν ἱερὰν στολὴν, ἐπιτελεῖ ἤδη τὴν προπαρασκευαστικὴν ἱεροπραξίαν, τουτέστι, λαμβάνει ἐκ τοῦ Ἱεροῦ ἄρτου, ἤτοι τῆς προσφορᾶς, μερίδα ἔχουσαν τὸν τύπον τοῦ Σταυροῦ μετ' ἐπιγραφῆς τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ, προφέρων τὴν τοῦ Ἡσαΐου προφητείαν, δι' ἧς ἀπεκαλύφθη τῇ Ἐκκλησίᾳ τῆς Παλαιᾶς Διαθήκης τὸ μέλλον πάθος τοῦ Λυτρωτοῦ, κατατίθησι τὴν μερίδα ἐκείνην ἐπὶ τοῦ ἱεροῦ δίσκου, διατέμνει ςαυροειδῶς καὶ νύττει διὰ τῆς λόγχης τὴν πλευράν, ἐπιχέων ἐνταῦτῷ εἰς τὸ ἅγιον ποτήριον οἶνον μεθ' ὕδατος, ὡς σημεῖον τοῦ αἵματος καὶ ὕδατος, τῶν ἐκχυθέντων ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ, καὶ ἐπιλέγων τὸ εὐαγγελικὸν ῥητὸν τοῦ Θεολόγου, τὸ μαρτυροῦν περὶ τῆς ἐντελοῦς ἐκπληρώσεως τῶν προφητειῶν. Μνημονεύσας οὕτω τὸν Χριστὸν, καὶ ἐν τῇ τοιαύτῃ ἀναμνήσει ἀποθέμενος τὴν μεγάλην μυστηριώδη μερίδα ὁ ἱερουργῶν, λαμβάνει καὶ ἐκ τῶν ἄλλων προσφορῶν τὰς μικρὰς μερίδας εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης Θεοτόκου καὶ τῶν Ἁγίων, καὶ ἀκολούθως ὑπὲρ ὑγείας τῶν ζώντων, καὶ ὑπὲρ ἀναπαύσεως τῶν κεκοιμημένων Χριςιανῶν. Ἐπὶ τέλους τὸν ἅγιον ἄρτον, ἤτοι τὸν Ἀμνὸν, ἐπισκιάζει διὰ τοῦ σταυροειδοῦς ἀστέρος, πᾶσαν τὴν πρόθεσιν κατακαλύπτει διὰ τῶν ἀέρων ἤτοι καλυμμάτων, διὰ δὲ τοῦ θυμιάματος καὶ τῆς προσευχῆς ἀποπερατοῖ τὴν ἱεροτελεστίαν.

Τί λοιπὸν ἤδη παρίστησι τὸ θυσιαστήριον; τί εἰκονίζει ἡ ἐν αὐτῷ ἐπιτελουμένη ἱεροπραξία; Γνωρίσωμεν, ἀδελφοί, τὸ πρῶτον μέγα μυστήριον. Τὸ ἱερὸν βῆμα παρίστησι τὴν ταπεινὴν Βηθλεέμ· ἡ

SISMANOGLIO MEGARO

πρόθεσις, τὸ μυστικὸν σπήλαιον· τὸ θυσιαστήριον, τὴν εὐτελῆ φάτνην· ἡ πρώτη ἐν τῷ θυσιαστηρίῳ ἱεροπραξία παρίστησι τὴν γέννησιν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ· τὸ ἁγιαστήριον, τὸ κεκαλυμμένον οὐ μόνον διὰ τῶν ἁγίων πυλῶν, ἀλλὰ καὶ διὰ τοῦ περαπετάσματος, ἐμφαίνει, ὅτι εἰς οὐδένα ἐϛὶ γνωστὸν τὸ ἀκατάληπτον μυστήριον τῆς τοῦ Θεοῦ γεννήσεως ἐπὶ τῆς γῆς· οὐδεὶς τῶν ἐν τῷ Ναῷ παρεστώτων βλέπει τὴν μυστικὴν ἱερουργίαν πλὴν τῶν λειτουργῶν τοῦ θυσιαστηρίου, ἐπειδὴ οὐδεὶς ἔγνωκε τὴν ταπεινὴν τοῦ Σωτῆρος γέννησιν πλὴν τῶν ἐκλελεγμένων μαρτύρων. Ἀληθῶς ἡ Προσκομιδή, ἐπειδὴ οὕτως ὀνομάζεται ἡ ἱεροπραξία αὕτη, διὰ τῆς τῶν δώρων ἐπὶ τοῦ θυσιαστηρίου προετοιμασίας εἰκονίζει μάλιστα τὴν ἐπίγειον γέννησιν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ ἰδοὺ ὁ ἅγιος ἄρτος εἰκονίζει τὸν θεῖον ἐκεῖνον ἄρτον, τὸν ἐκ τοῦ οὐρανοῦ καταβάντα, (α) καί, ὡς τὸ οὐράνιον μάννα, τεθέντα ἐν τῇ ἐμψύχῳ ϛάμνῳ, τῇ καθαρωτάτῃ νηδύϊ τῆς παναχράντου Παρθένου. Ὁ εὐλογηθεὶς οἶνος, ὁ ἔχων τὸ εἶδος τοῦ αἵματος, μαρτυρεῖ τὸν Υἱὸν τοῦ Θεοῦ εἰλικρινῶς κεκοινωνηκότα τῆς ἀνθρωπίνης σαρκὸς καὶ τοῦ αἵματος (β)·—ὁ ἀϛὴρ ὑπομιμνήσκει τὸν τῆς Βηθλεὲμ ἀϛέρα, ὅστις καθωδήγει τοὺς Μάγους· τὰ καλύμματα δεικνύουσι τὰ σπάργανα, δι' ὧν ἐσπαργανώθη τὸ προαιώνιον Βρέφος.

Ἐν τοιαύτῃ ἀναμνήσει τῆς σωτηριώδους γεννήσεως τοῦ Ἰησοῦ Χριστοῦ ἡ ἁγία Ἐκκλησία ἠδύνατο ἆρα ἵνα παραλείψῃ ἀστόχως τὴν μεγάλην λειτουργὸν καὶ μάρτυρα τῆς θείας ἐπιφανείας, τὴν ὑπεραγίαν Παρθένον Μαρίαν; οὐδαμῶς· καὶ ἰδοὺ ἐν εἰκόνι ἰδιαιτέρας μερίδος, ληφθείσης ἐκ τῆς δευτέρας προσφορᾶς, καὶ τεθείσης ἐκ δεξιῶν τοῦ ἁγίου Ἀμνοῦ, ἵνα, ὡς ἀληθὴς Βασίλισσα, παρίσταται ἐκ δεξιῶν τοῦ Βασιλέως αὐτῆς (γ)· ὑπὸ τὸ εἶδος ἐννέα μερίδων, ληφθεισῶν ἐκ τῆς τρίτης προσφορᾶς, καὶ τεθεισῶν ἐκ τοῦ ἑτέρου μέρους τοῦ Ἀμνοῦ, πάντες οἱ Ἅγιοι διῃρημένοι ὑπὸ τῆς Ἐκκλησίας εἰς ἐννέα τάγματα, καθ' ὁμοίωσιν τῶν ἐννέα Ἀγγελικῶν ταγμάτων, μετέχουσι τῆς δόξης τοῦ Βασιλέως Ἀμνοῦ. Ἀλλ' ἐπειδὴ ὁ Υἱὸς τοῦ Θεοῦ ἦλθεν οὐ μόνον ὑπὲρ τῶν δικαίων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἁμαρτωλῶν, καλῶν αὐτοὺς εἰς μετάνοιαν, ἐπειδὴ αὐτός ἐστιν

---

(α) Ἰωαν. ϛ'. 51. (β) Ἑβρ. Β'. 14. (γ) Ψαλμ. ΜΔ'. 10.

SISMANOGLIO MEGARO



ὁ καὶ νεκρῶν καὶ ζώντων ἐξουσιάζων, ὡς ἀληθὴς Θεός, καὶ πάντας θέλων σωθῆναι, ὡς ἀληθὴς Σωτήρ, ἡ ἁγία Ἐκκλησία καθοδηγεῖ, οὕτως εἰπεῖν, εἰς Βηθλεὲμ ὅλον τὸν σύλλογον τῶν πιστῶν, καὶ βάλλει ὑπὸ τοὺς πόδας τοῦ ἁγίου Ἀμνοῦ εἰς προσκύνησιν τοῦ γεννηθέντος καθ' ὁμοίωσιν τῶν Μάγων πάντας τοὺς Χριστιανούς· διὰ τοῦτο λαμβάνονται ἔτι ἐκ τῶν δύο τελευταίων προσφορῶν μερίδες εἰς σωτηρίαν τῶν ζώντων, τῶν τε παρεϛώτων ἐν τῷ Ναῷ καὶ τῶν ἀπόντων, καὶ εἰς μνημόσυνον τῶν κεκοιμημένων Χριϛιανῶν.

Τοιαύτη, ἀδελφοί, ἡ δόξα τῆς ἀναμνήσεως τῆς Βηθλεέμ! τοιαύτη ἡ ἱεροπραξία, ἡ ἐξεικονίζουσα τὴν ἐπίγειον γέννησιν τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος! Ἀλλ' αὗται αἱ περὶ τῆς τοῦ Χριστοῦ γεννήσεως λαμπραὶ ἰδέαι οὐχ ὑποζοφοῦνται διά τινων σημείων, ὑπεμφαινόντων τὸ πάθος αὐτοῦ καὶ τὸν θάνατον; Ναί· ἡ προσκομιδὴ διὰ τούτων τῶν ζωηρῶν γραμμῶν ἐξεικονίζει καὶ τὸ πάθος καὶ τὸν θάνατον τοῦ Σωτῆρος· καθότι ὁ ἅγιος Ἀμνὸς λαμβάνεται, προφερομένων, ὡς εἴπομεν, τῶν λόγων τοῦ Ἡσαΐου, δι' ὧν προανήγγειλεν ὁ προφήτης τὸ πάθος τοῦ Λυτρωτοῦ· ὁ ληφθεὶς Ἀμνὸς θύεται καὶ νύσσεται τῇ λόγχῃ εἰς ἔμφασιν σταυρώσεως καὶ θανάτου, ἀπαγγελλομένων τῶν περὶ τῆς ϛαυρώσεως τοῦ Κυρίου εὐαγγελικῶν λόγων, καὶ αὐτὸ τὸ τοῦ οἴνου ποτήριον, τὸ περὶ τῆς σαρκώσεως τοῦ Λυτρωτοῦ μαρτυροῦν, συμμαρτυρεῖ ἅμα καὶ περὶ τοῦ πάθους αὐτοῦ. Τί δέ; δυνάμεθα ἡμεῖς μνημονεύειν ἄλλως τὴν γέννησιν ἐκείνου, ὅστις ἔπαθε μὲν διὰ τὴν ἡμετέραν σωτηρίαν, ῥητῶς δὲ ἐνετείλατο ἵνα μνημονεύωμεν τὸ πάθος αὐτοῦ καὶ τὸν θάνατον; χωρίζεταί ποτε, καὶ δύναται χωρισθῆναι ἐν τῷ Θείῳ Λυτρωτῇ ἡ ἰδέα τοῦ πάθους ἀπὸ τῆς ἰδέας τῆς εἰς τὸν κόσμον ἐλεύσεως αὐτοῦ; Ἰδοὺ αὐτὸς κεῖται ἐν τῇ φάτνῃ ὡς Ἀμνός, ἀλλ' Ἀμνὸς προωρισμένος ἤδη εἰς σφαγήν. Ἰδοὺ οἱ Μάγοι κατατιθέασιν ἐνώπιον τοῦ γεννηθέντος Βρέφους δῶρα, οὐ μόνον χρυσὸν καὶ λίβανον, ἀλλὰ καὶ σμύρναν, σημεῖον τοῦ θανάτου! Ἰδοὺ ὁ Συμεὼν ὑπαντῶν τὸ Βρέφος Ἰησοῦν ἐν τῷ Ναῷ, προλέγει τὸ μέλλον αὐτοῦ πάθος. Αὐτὸς ὁ Σωτὴρ ἐν τῷ καιρῷ τῆς ἐπιγείου αὐτοῦ ζωῆς οὐδέποτε ἐν οὐδεμιᾷ αὐτοῦ περιστάσει καὶ πράξει παρέλιπε τὴν περὶ τοῦ μέλλοντος αὐτοῦ πάθους ἰδέαν. Καὶ λοιπόν, ἀδελφοί, μὴ ἀφίϛασθε τῇ διανοίᾳ ἀπὸ τῆς Βηθλεέμ, ἐπιτελουμένης τῆς προσκομιδῆς·

ἐγκύπτετε εὐλαβῶς ἐν τῷ σπηλαίῳ· ἐνατενίζετε μετὰ πίστεως ἐπὶ τὸν ἐν φάτνῃ σπαργανωθέντα Χριςὸν, ὡς ἐπὶ ἄμωμον καὶ ἄσπιλον Ἀμνὸν (α), ὅστις ἦλθε θεῖναι τὴν ψυχὴν αὐτοῦ (β) ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας.

Οὕτως ἡ ἁγία Ἐκκλησία, ἕως τῆς πανηγυρικωτέρας ἐνάρξεως τῆς λειτουργίας ἐν τῷ κεκαλυμμένῳ ἁγιαστηρίῳ, παρίστησιν ἡμῖν τὸ ταπεινὸν σπήλαιον, καὶ ἐν τῇ ἐπὶ τοῦ θυσιαστηρίου ἱεροπραξίᾳ, ἡ προσκομιδῇ, ἐξεικονίζει μάλιστα τὴν ἐπίγειον γέννησιν τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀλλ' ἡ γέννησις τοῦ Λυτρωτοῦ τοῦ ἀνθρωπίνου γένους σὺν πάσῃ τῇ ταπεινώσει εἶχε τὴν ἑαυτῆς δόξαν, καὶ ἐν τῷ κρυπτῷ τοὺς ἑαυτῆς ἐξαγγέλους· οὕτως οἱ Μάγοι, διδαχθέντες ὑπὸ τῆς ἐμφανείας τοῦ ἐξαισίου ἀςέρος, κηρύττουσιν ἐν Ἱερουσαλὴμ τὴν γέννησιν τοῦ οὐρανίου Βασιλέως· οὕτως οἱ ποιμένες ἐξαγγέλλουσιν εἰς τὰ πέριξ τῆς Βηθλεὲμ τὴν οὐράνιον ὅρασιν, ἐπιβεβαιουμένην διὰ τῆς πραγματικῆς ἐπιφανείας τοῦ τεχθέντος Σωτῆρος, ὅς ἐστι Χριστὸς Κύριος (γ)· οὕτω, καὶ μάλιστα αἱ μεγάλαι τῶν Ἀγγέλων πληθύες καταγγέλλουσιν εἰρήνην ἐν τῇ ἐπιφανείᾳ τοῦ Λυτρωτοῦ τοῦ Κόσμου, καὶ δοξολογοῦσι τὸν Θεὸν, ἀλαλάζουσαι ἐπὶ τοῦ ἀέρος εἰς ἀκοὴν παντὸς τοῦ κόσμου· «Δόξα ἐν ὑψίςοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.» (δ)

Καὶ ἡμᾶς, ἀδελφοὶ, ἡ ἁγία Ἐκκλησία οὐκ ἐᾷ ἐστερημένους τοῦ ἀποκεκαλυμμένου καὶ πανηγυρικοῦ περὶ τῆς τοῦ Χριστοῦ γεννήσεως κηρύγματος. Μετὰ τὴν μυστικὴν ἐπὶ τοῦ θυσιαστηρίου ἱεροπραξίαν, μετὰ τὴν ἐκτέλεσιν τῆς προσκομιδῆς, ἀφαιρεῖται τὸ παραπέτασμα ἐκ τῶν μεγάλων βασιλικῶν πυλῶν, καὶ οἱ ἱερουργοῦντες καθ' ὁμοίωσιν τῶν Ἀγγέλων ἐπαναλαβόντες ἐνώπιον τοῦ ἁγίου θρόνου τὴν τῆς Βηθλεὲμ δοξολογίαν, «Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία», μεταδίδουσι τοῦτον τὸν χαρμόσυνον ὕμνον πάσῃ τῇ Ἐκκλησίᾳ ἐν πανηγυρικαῖς ἐκφωνήσεσι· καθότι μετὰ τὴν τοῦ Διακόνου ἐν τῷ Ναῷ ἐκφώνησιν, «εὐλόγησον Δέσποτα,» ἐκ τοῦ θυσιαστηρίου, ὡς ἐξ οὐρανίου ἁγιαστηρίου, ἐν τῇ φωνῇ τοῦ ἱερουργοῦντος διαδίδοται εἰς πάντα

(α) Ἁ Πέτρ. Ἁ 19. (β) Ματθ. Κ. 28. (γ) Λουκ. ΙΑ. 11. (δ) Αὐτ. Β'. 14.

SISMANOGLIO MEGARO



τὸν Ναὸν, καὶ περιηχεῖ πάντας τοὺς παρεστῶτας ἡ εὐλογία τῆς Τρισυποςάτου Θεότητος· «εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.» Ἡ τελευταία αὕτη ἐκφώνησίς ἐστιν αὐτὴ ἡ τῶν Ἀγγέλων δοξολογία, καθότι ἡ ἁγία Ἐκκλησία εὐλογεῖ καὶ δοξολογεῖ ἐν μιᾷ Θεότητος Βασιλείᾳ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα, καθ' ὁμοίωσιν τῶν Ἀγγέλων, οἵτινες ἐπὶ τῇ γεννήσει τοῦ Σωτῆρος ἀνέπεμπον δόξαν τῷ ἐν ὑψίστοις Θεῷ τῷ Πατρὶ, ἐκήρυττον τὴν προσενεχθεῖσαν ἐπὶ τῆς γῆς εἰρήνην διὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἀνήγγελλον τῷ τῶν ἀνθρώπων γένει τὴν ἐν ἁγίῳ Πνεύματι εὐδοκίαν τοῦ Θεοῦ.

Διὰ τῆς τοιαύτης δοξολογίας τοῦ Θεοῦ, Πατρὸς, Υἱοῦ καὶ ἁγίου Πνεύματος, ἀποπερατοῦται ἡ τῶν δώρων προετοιμασία, καὶ ἄρχεται ἡ μεγάλη τῆς λειτουργίας ἱεροπραξία· ἐνηχοῦνται οἱ περιεστῶτες πιστοὶ τὴν χαρμόσυνον τῆς ἐπιτελεσθείσης γεννήσεως τοῦ θεανθρώπου ἀγγελίαν, καὶ ἀπὸ τῆς μεγάλης ἐν Βηθλεὲμ ἐπιφανείας μεταφέρονται εἰς τὴν θεωρίαν τῶν περαιτέρω θείων ἐπιφανειῶν. Διὰ τῆς τοιαύτης εὐλογίας τῆς τοῦ Θεοῦ Βασιλείας ἀναγγέλλεται ἡμῖν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ διὰ τῆς αὐτοῦ εἰς τὸν κόσμον ἐλεύσεως ἐστερέωσεν ἐπὶ τῆς γῆς τὴν κεχαριτωμένην Θείαν Βασιλείαν, «Καὶ δέδωκεν ἡμῖν φῶς καὶ διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεόν» (α), ἀπεκάλυψεν ἡμῖν τὸ ἀκατάληπτον μυστήριον τῆς Τρισυποστάτου Θεότητος, καὶ ὅτι ἡμεῖς, ὡς υἱοὶ τῆς βασιλείας, ἀπὸ τοῦ νῦν ἐν καθαρῷ πνεύματι τῆς πίστεως διὰ παντὸς ὀφείλομεν εὐλογεῖν τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα.

Χριστιανοί! ὅταν ἀκούσωμεν τὴν κραυγὴν τοῦ εὐαγγελιστοῦ τῆς θείας λειτουργίας, σπεύσωμεν πρὸς ἐκείνην ὡς πρὸς μυςικὸν δεῖπνον, ὡς πρὸς ἱερὰν ἑστίασιν· σπεύσωμεν εἰς τὴν ἐκκλησίαν ὡς εἰς ἁγίαν γῆν, ὅπως ἐκεῖ διὰ τοῦ ὀφθαλμοῦ τῆς πίστεως ἐξιχνιάσωμεν πάσας τὰς θείας ὁδοὺς, θεωρήσωμεν πάσας τὰς ἐξαγοραστικὰς τοῦ Θεανθρώπου ἐνεργείας.

Ὁπόταν εἰσέλθωμεν εἰς τὸν ἅγιον Ναὸν, προσπέσωμεν τῷ Θεῷ

(α) Ἁ Ἰωαν. Ε. 20.

ἐν εὐχαριστηρίοις εὐχαῖς δοξάζοντες τὴν σοφωτάτην αὐτοῦ ἀγαθότητα, δι' ἣν οὐκ ἐγκατέλιπε τὸ ἐκπεσὸν ἀνθρώπινον γένος εἰς αἰώνιον ἀπώλειαν, ἀλλ'ἐλυτρώσατο αὐτὸ τῷ τιμίῳ αἵματι τοῦ Υἱοῦ αὐτοῦ, καὶ ὡδήγησεν εἰς τὴν μεγάλην οἰκίαν τῆς θείας αὐτοῦ χάριτος καὶ δόξης.

Ὁπόταν σταθῶμεν πρὸ τοῦ μεγάλου ἁγιαστηρίου, ὡς κεχαριτωμένοι τοῦ Θεοῦ υἱοί, ὡς τέκνα τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, ἐνθυμηθῶμεν, ὅτι ἡμεῖς ἦμέν ποτε ἐθνικοί, ξένοι τῆς ἀληθοῦς θεοφανείας καὶ λατρείας, « ἦμεν ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ » (α)· νῦν δὲ, θείῳ ἐλέει, « γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν » (β). Ἀλλ' ἐν τούτοις στοχασθῶμεν καὶ ταῦτα· ἀξίως ἆρά γε εὑρισκόμεθα ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ; δικαιοῦμεν ἆρά γε διὰ τῆς ἡμῶν πίστεως τὴν ἡμετέραν ἐκλογὴν καὶ κλῆσιν εἰς τὴν χάριν τοῦ Χριστοῦ; ἐξαγγέλλομεν διὰ τῶν ἀρετῶν ἡμῶν « τὸν ἐκ σκότους ἡμᾶς καλέσαντα εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς » (γ); ἢ τοὐναντίον μόνον « τὴν μόρφωσιν τῆς Χριστιανικῆς εὐσεβείας φέρομεν, ἀρνούμενοι τὴν ἐσωτερικὴν αὐτῆς δύναμιν » (δ); μήπως ἆρα « ὁμολογοῦμεν Θεὸν εἰδέναι, τοῖς δὲ ἔργοις καὶ τῇ πολιτείᾳ ἀρνούμεθα αὐτόν » (ε); ὤ, ἂν οὕτως ἔχῃ! « σπουδάζωμεν βεβαίαν ἡμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι » (ζ)! γενώμεθα « ὡσεὶ ἐλαΐα κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ » (η), ἵνα μὴ ἀποῤῥίψῃ ὁ Κύριος καὶ ἡμᾶς ἀπὸ τῆς θείας αὐτοῦ χάριτος, ὡς ἀπέῤῥιψε τοὺς μὴ πιστεύσαντας Ἰουδαίους· « εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων (τῶν Ἰουδαίων) οὐκ ἐφείσατο, μήπως οὐδὲ ἡμῶν φείσηται » (θ);

Ὁπόταν μετὰ τὴν ἀποπεράτωσιν τῆς προσκομιδῆς ἄρξηται ἡ θεία λειτουργία, καὶ ἀκούσωμεν τὴν ἐκφωνουμένην ἐν τῷ ἁγιαστηρίῳ εὐλογίαν καὶ δοξολογίαν τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, προσπέσωμεν πρηνεῖς, καὶ προσκυνήσωμεν τῷ Κυρίῳ, τῷ φανέντι ἐν σαρκὶ, ἐν εὐχαριστηρίῳ ἐκστάσει μετὰ

(α) Ἐφεσ. Β'. 12. (β) Α Πέτρ. Β'. 9. (γ) Αὐτόθ. (δ) Β Τιμόθ. Γ. 5. (ε) Τιμ. Α. 16.
(ζ) Β'. Πέτρ. Α. 10. (η) Ψαλμ. ΝΑ. 10. (θ) Ῥωμ. ΙΑ. 21.

SISMANOGLIO MEGARO



τῶν ποιμένων, ἐν εὐσεβεῖ προσκυνήσει μετὰ τῶν μάγων. « Ἰδοὺ δὴ, ὡς Ἄγγελοι, εὐλογήσωμεν τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου. (α) » Ὑπαντήσωμεν ἐν πίστει καὶ μετανοίᾳ « τὴν ἐρχομένην πρὸς ἡμᾶς οὐράνιον βασιλείαν, (β) » καὶ ἐν πάσαις ταῖς πράξεσιν, ἐν πάσῃ τῇ διαγωγῇ, ἐν πάσῃ τῇ πολιτείᾳ εὐλογήσωμεν Πατέρα, Υἱὸν καὶ ἅγιον πνεῦμα τὸν Κύριον. Ἀμήν.

# ΛΟΓΟΣ Γ'.

« Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ ».

Ὁποία σωτηριώδης πρόσκλησις! Πόσον μακάριοι οἱ προσκαλούμενοι! Καθότι ἐκεῖνος, πρὸς ὃν προσκαλούμεθα, ὑπάρχει ὁ ἐπηγγελμένος Σωτὴρ τῶν ἀνθρώπων· ἐκεῖνον, πρὸς ὃν προσκαλούμεθα, « πολλοὶ προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν ἰδεῖν, καὶ οὐκ εἶδον » (γ)· ἐκεῖνον, πρὸς ὃν προσκαλούμεθα, πάντες οἱ ἀρχαῖοι Ἅγιοι πόῤῥωθεν τῇ πίστει προσεκύνουν, πᾶσα ἡ τῆς Παλαιᾶς Διαθήκης ἐκκλησία ἐν πνεύματι ζωηρᾶς προσδοκίας ἠλάλαζε « Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ » (δ). Οὗτος ὁ θεῖος Λυτρωτὴς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἐν μέσῳ ἡμῶν ἀδελφοί! ἡ ἁγία ἡμῶν μήτηρ Ἐκκλησία, συνάγουσα ἡμᾶς, ὡς παῖδας, καὶ ὡς ὑποδεικνύουσα τὸν φανέντα Χριστὸν, καθοδηγεῖ ἡμᾶς πρὸς τοῦτον τὸν μέγαν Μεσίτην Θεοῦ καὶ ἀνθρώπων. « Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. » Ποῦ δὲ ἡ τοῦ Χριστοῦ ἐμφάνισις; ἐνατενίζετε, ἀδελφοὶ, ἐπὶ τὴν ἁγίαν μετὰ τοῦ εὐαγγελίου προέλευσιν. Ἰδοὺ ἔρχεται αὐτὸς ὁ Κύριος· ἔρχεται ἐκεῖνος ὁ μέγας Ὑπουργὸς, οὗ τινος ἔργον ἐστὶν, ἵνα ποιήσῃ τὸ θέλημα τοῦ πέμψαντος αὐτόν· τοῦτο δὲ ἐστὶ τὸ θέλημα τοῦ πέμψαντος αὐτὸν, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον » (ε). Ἔρχεται ὁ οὐράνιος ἐκεῖνος Ἀπόστολος, ὅστις ἐστάλη παρὰ τοῦ

(α) Ψαλμ. ΡΛΓ'. 1. (β) Ματθ. Δ'. 17. (γ) Λουκ. Ι. 24. (δ) Ψαλμ. Ϙδ'. 1—6
(ε) Ἰωάν. ς'. 38, 48.

Θεοῦ εὐαγγελίσασθαι ἐπὶ τῆς γῆς τὴν βασιλείαν τοῦ Θεοῦ » (α). Ἔρχεται ὁ θεῖος ἐκεῖνος Διδάσκαλος, ὅστις « εἰς τοῦτο γεγέννηται, καὶ εἰς τοῦτο ἐλήλυθεν εἰς τὸν κόσμον, ἵνα μαρτυρήσῃ τῇ ἀληθείᾳ » (β). Προσπίπτετε ἐνώπιον τοῦ ἁγίου Εὐαγγελίου! Ἰδοὺ Χριστὸς Ἰησοῦς, ὁ παγκόσμιος Προφήτης καὶ θεῖος Μεσίτης, μετὰ τὸ βάπτισμα καὶ τὴν ἐρημικὴν ἀπομόνωσιν, ἐπιφαίνεται ἐν πάσῃ τῇ μεγαλειότητι τῆς οὐρανίου ταπεινώσεως, ὅπως ἀναγγείλῃ τῷ κόσμῳ τὸ κεχαριτωμένον κήρυγμα τοῦ Εὐαγγελίου, καὶ δείξῃ τῇ πεπτωκυίᾳ ἀνθρωπότητι ἐκείνας τὰς ὁδοὺς τῆς ζωῆς καὶ σωτηρίας, ἃς προδιέγραψεν ἡ πανάγαθος Σοφία τοῦ Θεοῦ.

Ἐπίσημος ἀληθῶς ἡ μετὰ τοῦ ἁγίου Εὐαγγελίου προέλευσις. Ἡ ἱερὰ εἴσοδος ἄρχεται οὐχὶ ἀλλαχόθεν, εἰμὴ ἐξ αὐτοῦ τοῦ Ἁγιαστηρίου τοῦ ἁγίου Βήματος, καθὼς αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ἐπεφάνη, κατὰ τὰ ἴδια αὐτοῦ λόγια, « οὐχὶ ἐκ τῶν κάτω, ἀλλ᾽ ἐκ τῶν ἄνω » (γ), ἐκ τοῦ ἄνω θείου Ἁγιαστηρίου, « καὶ τὴν διδασκαλίαν Αὐτοῦ ἔφερεν οὐχὶ ἐξ ἀνθρώπων, ἀλλ᾽ ἐξ αὐτοῦ τοῦ Θεοῦ ». (δ) Ἡ ἱερὰ εἴσοδος ἐπιτελεῖται ἡσύχως, ταπεινῶς, ἀθορύβως, ἐπειδὴ ἐνώπιον τῆς οὐρανίου διδασκαλίας σιγᾷ πᾶσα γήϊνος στοιχειακὴ σοφία, καὶ κατανοεῖται ὑπὸ μόνον τῶν ταπεινῶν πιστῶν. Τῆς ἱερᾶς εἰσόδου προηγοῦνται λαμπάδες πυρός· διότι τὸ κεχαριτωμένον τοῦ Εὐαγγελίου κήρυγμα οὐ μόνον φωτίζει, ἀλλὰ καὶ θερμαίνει τοὺς ἀνθρώπους, ζωογονοῦν αὐτοὺς εἰς ζωὴν πνευματικήν, αἰώνιον. Ἐν τῇ ἱερᾷ εἰσόδῳ βλέπομεν φερόμενον τὸ ἅγιον Εὐαγγέλιον, ὡς σημεῖον τῆς χάριτος, ἣν κατήγαγεν ἐπὶ τῆς γῆς ὁ Λυτρωτής· ἐν δὲ τῇ παθητικῇ τοῦ ψάλλοντος χοροῦ μελῳδίᾳ, ἀκούομεν τὴν μεγάλην ἐκείνην καὶ δαψιλεστάτην Μακαριότητα, ἣν ἡ εἰς τὸ Εὐαγγέλιον προμνηστεύεται πίστις. Ἐπὶ τῇ ὑψώσει τοῦ Εὐαγγελίου ἀπέναντι τῶν μεγάλων πυλῶν διαδίδεται ἡ φωνή: Σοφία, ὀρθοί! διδάσκουσα ἡμᾶς, ὅτι τὸ εὐαγγελικὸν κήρυγμα ἐστὶ Θεία σοφία, καὶ ὅτι ἡμεῖς ὀφείλομεν ὑποτάσσεσθαι αὐτῇ ἐν μετανοίᾳ τῆς καρδίας, ἐν ἁπλότητι πίστεως. Τίς δὲ τῶν χριστιανῶν οὐκ ἀκούει ἐν τῇ ἐκκλησιαστικῇ φωνῇ τὴν ἠχὼ ἐκείνης τῆς σωτηρίου διδα-

(α) Λουκ. Δ΄. 43. (β) Ἰωάν. ΙΗ΄. 37. (γ) Αὐτόθ. Η΄. 23. (δ) Αὐτόθ. Ζ΄. 16.



σκαλίας, δι᾽ ἧς ὁ θεῖος Ἐπιστάτης ἤρξατο τὸ κεχαριτωμένον αὐτοῦ κήρυγμα: « Μετανοεῖτε, καὶ πιστεύετε ἐν τῷ Εὐαγγελίῳ » (α). Ἐπὶ τέλους ἡ ἱερὰ προέλευσις διὰ τῶν βασιλικῶν πυλῶν εἰσέρχεται εἰς τὸ θυσιαστήριον πρὸς τὸν χαρίεντα θρόνον, εἰς σημεῖον τοῦ ὅτι τὸ θεῖον κήρυγμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καθοδηγεῖ ἡμᾶς εἰς τὸ οὐράνιον Ἁγιαστήριον, καὶ οἱ ὁμολογηταὶ τοῦ Εὐαγγελίου ἀποκαθίστανται υἱοὶ καὶ κληρονόμοι τῆς θείας Βασιλείας.

Τοιαύτη, ἀδελφοί, ἡ μυστηριώδης σημασία τῆς μετὰ τοῦ ἁγίου Εὐαγγελίου εἰσόδου! Μετὰ ταύτην τὴν ἱερὰν προπομπὴν ἀμέσως ἀκολουθεῖ ἡ κοινὴ προσκύνησις τοῦ Τρισυποστάτου Θεοῦ, τοῦ ἐν τῇ Εὐαγγελικῇ διδαχῇ σαφῶς κηρυχθέντος, μετ᾽ ἀλαλαγμοῦ τοῦ τρισαγίου ὕμνου· « ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς! » εἶτα δὲ ἄρχεται ἡ ἀνάγνωσις ἐκ τῶν Πράξεων τῶν Ἀποστόλων, ἢ ἐκ τῶν Ἐπιστολῶν, καὶ ἡ τοῦ Εὐαγγελίου. Ὁ Ἀπόστολος προηγεῖται τοῦ Εὐαγγελίου, ἐπειδὴ αὐτὸς ὁ Χριστὸς ἔπεμπε πρὸ αὐτοῦ τοὺς μαθητὰς αὐτοῦ κηρύττοντας τὸ Εὐαγγέλιον· « ἀπέστειλεν αὐτοὺς, λέγει ὁ Εὐαγγελιστὴς Λουκᾶς, πρὸ προσώπου αὐτοῦ, εἰς πᾶσαν πόλιν καὶ τόπον, οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι » (β). Πρὸ τοῦ Εὐαγγελίου ὁ διάκονος θυμιᾷ τὸ ἅγιον θυσιαστήριον, τὸν ναὸν, καὶ τοὺς παρεστῶτας εἰς σημεῖον τῆς χάριτος, ἧς ἐπληρώθη ἅπας ὁ κόσμος διὰ τοῦ Εὐαγγελικοῦ κηρύγματος.

Καὶ λοιπὸν ἐν τῇ ἀναγνώσει τοῦ Ἀποστόλου καὶ τοῦ Εὐαγγελίου ἀκούομεν τὴν θείαν διδασκαλίαν αὐτῶν τῶν Ἀποστόλων, καὶ ἰδιαιτέρως αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ· ἐν τῇ εὐαγγελικῇ ἀπαγγελίᾳ διορῶμεν πάντα τὰ μυστήρια τῆς βασιλείας ἀποκαλυπτόμενα διὰ τοῦ Σωτῆρος ἡμῶν, κατανοοῦμεν πᾶσαν αὐτοῦ τὴν θείαν οἰκονομίαν, βλέπομεν αὐτοῦ πάντα τὰ μεγάλα καὶ ἔνδοξα ἔργα. Τὸ αἴσθημα τῆς ζώσης πίστεως παρίστησιν ἡμῖν, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πανταχοῦ εὐαγγελίζεται τὴν οὐράνιον αὐτοῦ διδασκαλίαν, κηρύττει τὴν πίστιν, καλεῖ εἰς μετάνοιαν· ὅτι τοὺς ἐν τῇ ἐρήμῳ πέντε ἄρτους μεταποιεῖ εἰς δαψιλῆ τράπεζαν πολυαρίθ-

(α) Μάρκ. Α΄. 15. (β) Λουκ. Ι΄. 1.

μου λαοῦ, τὰ ἐπὶ τῆς θαλάσσης σαλευόμενα κύματα μεταβάλλει εἰς στερεὰν, τὴν ἐπὶ τοῦ ὄρους ζοφώδη νύκτα μεταμορφώνει εἰς φαεινὴν ἡμέραν· ὅτι ἑνὶ λόγῳ θεραπεύει νόσους ἀνιάτους, ἐπαναφέρει τοὺς τεθνεῶτας εἰς τὴν ζωὴν καὶ ἐπὶ τοῦ μνήματος τοῦ Λαζάρου καταράσσει, οὕτως εἰπεῖν, αὐτὸν τὸν θάνατον.

Ἀκούοντες ἐν τῷ Εὐαγγελίῳ τοιαύτην οὐράνιον καὶ σωτήριον διδαχὴν, ὁρῶντες τοσαῦτα μεγάλα καὶ ἔνδοξα θαύματα, δυνάμεθα ἵνα μὴ ἀλαλάξωμεν μετὰ τῆς Ἐκκλησίας ἐν πνεύματι ἁγίας ἀγαλλιάσεως « Δόξα σοι, Κύριε, δόξα Σοι; » Τοιαῦτα αἰσθήματα θαυμασμοῦ καὶ εὐγνωμοσύνης πανηγυρικῶς ἀπεκάλυπτον καὶ οἱ εὐσεβεῖς Ἰουδαῖοι, ὁπόταν, ἢ ἀκούοντες παρὰ τοῦ Ἰησοῦ Χριστοῦ ὑψηλήν τινα διδαχὴν, ἢ βλέποντες αὐτοῦ τὰ θαυμαστὰ καὶ ἀκατανόητα ἔργα, μετ' ἐκστάσεως ἀνέκραζον· « οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος » (α). « Εἴδομεν παράδοξα σήμερον » (β). « Προφήτης μέγας ἐγήγερται ἐν ἡμῖν, καὶ ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ » (γ). Καὶ αὐτὸς ὁ εὐαγγελιστὴς σημειοῖ ἐν μιᾷ περιστάσει, ὅτι « πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν αἶνον τῷ Θεῷ » (δ).

Δεῦτε, χριστιανοὶ, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Ὁπόταν ἴδωμεν τὴν μετὰ τοῦ θείου Εὐαγγελίου προέλευσιν, προσκυνήσωμεν Χριστῷ, τῷ ἐλθόντι εὐαγγελίσασθαι ἡμῖν τὴν ὁδὸν τῆς σωτηρίας, καὶ ἐν τῇ θείᾳ αὐτοῦ διδασκαλίᾳ ἀποκαλύψαντι ἡμῖν τὸ πανάγαθον θέλημα τοῦ οὐρανίου Πατρός. Ἐνατενίζοντες ἐπὶ τὸ ὑψούμενον ἅγιον Εὐαγγέλιον ἐνθυμηθῶμεν τὸ θεῖον αὐτοῦ κήρυγμα τῆς μετανοίας καὶ πίστεως, δι' ὧν δωρεῖται ἡμῖν ἡ χάρις τῆς σωτηρίας. Ἡ μετάνοια καὶ ἡ πίστις εἰσὶ τὰ μόνα ἀπαιτούμενα πρὸς σωτηρίαν τοῦ ἀνθρώπου, καὶ σφραγὶς τῆς προσηγορίας τοῦ ἁγιωτάτου Χριστιανισμοῦ. Ἐὰν ἡμεῖς, οἱ ἀκαταπαύστως ἁμαρτάνοντες, μένωμεν ἀμετανόητοι· ἐὰν μὴ ἔχωμεν τὴν ζῶσαν πίστιν εἰς τὸν Λυτρωτὴν, μάτην φέρομεν τὴν ἁγίαν προσηγορίαν τῶν χριστιανῶν, ἀναξίως ἱστάμεθα καὶ ἐν τῷ τῶν χριστιανῶν ἁγιαστηρίῳ ἐπὶ τῇ ἐκτελέσει τῶν θείων μυστηρίων.

Ὁπόταν ἀκούσωμεν τὴν ψαλμῳδίαν τοῦ τρισαγίου ὕμνου, ἐν

(α) Ἰωάν. Ζ'. 46. (β) Λουκ. Ε. 26. (γ) Αὐτόθ. Ζ'. 16. (δ) Αὐτόθ. ΙΗ. 43.

SISMANOGLIO MEGARO



ζωηρῷ αἰσθήματι ταπεινώσεως, μετὰ βαθείας ἐπιγνώσεως τῆς ἡμετέρας ἀναξιότητος πέσωμεν ἐνώπιον τοῦ Θεοῦ, τοῦ ἐν ἁγίᾳ Τριάδι προσκυνουμένου καὶ δοξαζομένου, ἀναπέμποντες αὐτῷ εἰλικρινῆ εὐγνωμοσύνην διὰ τὸν φωτισμὸν τοῦ κόσμου καὶ διὰ τὴν κλῆσιν ἡμῶν « εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων » (α).

Ὁπόταν ἐπιστῇ ὁ καιρὸς τῆς ἀναγνώσεως τῶν Ἀποστολικῶν διδαγμάτων, καὶ μάλιστα τοῦ ἁγίου Εὐαγγελίου, ἀνοίξωμεν τὴν ἀκοὴν τῆς πίστεως, προσηλώσωμεν σταθερὰν προσοχὴν εἰς τὴν καλὴν ἀγγελίαν, ἐπειδὴ ἡ σοφία τοῦ Θεοῦ ἀναγγέλλεται. Τοιαύτην παρ' ἡμῶν διάθεσιν πνεύματος ἀπαιτεῖ ἡ ἁγία Ἐκκλησία ἔν τε ταῖς ἄλλαις ἱεροτελεστίαις, καὶ μάλιστα ἐν τῇ ἀναγνώσει τοῦ ἁγίου Εὐαγγελίου. Οὕτως οἱ ἱερουργοῦντες παραγγέλλουσι πᾶσι τοῖς παρεστῶσι· « Σοφία, ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Πρόσχωμεν. » Ὀρθοὶ ἀκούσωμεν, ἐν εἰλικρινείᾳ πνεύματος, ἐν ἁπλότητι καρδίας· πρόσχωμεν, οὐ μόνον μετὰ προσοχῆς, ἀλλὰ καὶ μετ' εὐλαβείας· ἐπειδὴ αὐτὴ ἡ ἐνυπόστατος Σοφία ἐπιφαίνεται, ὁ Υἱὸς τοῦ Θεοῦ διὰ ζώσης φωνῆς ἐξαγγέλλει τὸ θέλημα τοῦ οὐρανίου Πατρὸς, ὁ Ἰησοῦς Χριστὸς καὶ λόγῳ διδαχῆς, καὶ δυνάμει θαυμάτων, παρέχει ἡμῖν τὴν θείαν καὶ σωτήριον σοφίαν. Ὢ! πῶς οὐ λυποῦνται περὶ τούτων, ὅσοι ἐξ ὑμῶν ἐν πάσαις ταῖς ἱεροπραξίαις βλέπουσι διὰ μόνων τῶν σωματικῶν ὀφθαλμῶν, καὶ, καμμύσαντες τὸ ἐσωτερικὸν ὄμμα, μένουσι ξένοι πασῶν τῶν πνευματικῶν ὁράσεων! πῶς οὐ λυποῦνται περὶ τούτων, ὅσοι τὸ ἅγιον Εὐαγγέλιον ἀκούουσιν ἐν τῇ Ἐκκλησίᾳ ἄνευ εὐλαβείας καὶ πίστεως, τυχὸν δὲ καὶ ἄνευ προσοχῆς, καὶ πολὺ πλέον, ὅσοι ἐν τῷ ῥεμβασμῷ τοῦ πνεύματος οὐδ' ἀκούουσιν ὅλως τὰ θεῖα ῥήματα! πῶς οὐ λυποῦνται περὶ τούτων, ὅσοι, φέροντες τὴν χριστιανικὴν προσηγορίαν, ἀτενίζουσι πρὸς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἐν γένει πρὸς τὸν ἅγιον λόγον τοῦ Θεοῦ, ὡς πρὸς ξένον τι καὶ ἀλλότριον· οἵτινες, ἀναγινώσκοντες τοῦτον καὶ διανοούμενοι περὶ τῶν τῆς εὐσεβείας ὑποθέσεων, ἀποσεμνοῦσιν αὐτὸν, ὡσάν τι ἀτόπημα στενοχωροῦν τὸ πνεῦμα, καὶ σκοτίζον τὸ αἴσθημα τῶν οἰκογενειακῶν καὶ κοινῶν ἀγαλλιάσεων· ὅσοι, προτιμῶντες τῆς θείας τὴν

(α) Κολασ. Α. 12.

ἀνθρωπίνην σοφίαν, « συλαγωγοῦνται διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων » (α), περιφέρονται « διδαχαῖς ποικίλαις καὶ ξέναις » (β), « ἀποστρέψαντες ἀπὸ τῆς ἀληθείας τὴν ἀκοὴν, ἐπὶ τοὺς μύθους ἐκτρέπονται » (γ). Ὅσοι, ἐγκαταλιμπάνοντες ὄπισθεν τὸν οὐράνιον Διδάσκαλον, μετὰ πάσης προθυμίας ὁρμῶσι πρὸς ἐκείνους τοὺς διδασκάλους τοὺς μὴ νοοῦντας, μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται » (δ)· διὰ τοὺς τοιούτους χριστιανοὺς ὁ θεῖος λόγος, τὸ ἅγιον Εὐαγγέλιον ἀναγγέλλει ἤδη οὐχὶ εἰρήνην καὶ σωτηρίαν, ἀλλὰ κρίσιν καὶ κατάκρισιν. « Οὗτος ἀληθῶς ὁ λόγος κρινεῖ αὐτοὺς ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ » (ε). Δεῦτε, πιστοὶ, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, προσκυνήσωμεν αὐτῷ μετὰ πίστεως καὶ εὐλαβείας, προσπέσωμεν μετὰ συντριβῆς καὶ ἐξομολογήσεως, ἀσπασώμεθα ἀπὸ καρδίας τὸν ἅγιον αὐτοῦ λόγον, « τὸν ἐπαγγελίαν ἔχοντα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης » (ϛ). Ἀνακράξωμεν πρὸς αὐτόν· Σῶσον, ἡμᾶς υἱὲ Θεοῦ, τοὺς πιστεύοντας εἰς Σὲ καὶ προσκυνοῦντάς σε, Ἀμήν.

# ΛΟΓΟΣ Δ΄.

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν, ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν.

Τῆς μεγάλης ἱεροπραξίας μεγάλην βλέπομεν καὶ τὴν προετοιμασίαν. Ἡ ἁγία Ἐκκλησία διδάσκουσα ἡμᾶς, πόσην ὑψηλὴν προσηγορίαν ἤδη φέρομεν, ὁπόταν εἰκονίζωμεν ἐν ἑαυτοῖς τὰ Χερουβὶμ, καὶ μετὰ τῶν οὐρανίων δυνάμεων συμμεριζώμεθα τὸν τρισάγιον ὕμνον, καὶ πρὸς ποίαν ἀκατάληπτον προετοιμαζόμεθα ἱεροπραξίαν, ὁπόταν συνάμα ταῖς ἀγγελικαῖς τάξεσιν μέλλωμεν ὑποδέξασθαι τὸν μέγαν Βασιλέα τῆς δόξης· διὰ μητρικῆς φωνῆς καταπείθει ἡμᾶς, ἵνα ἀποθέμενοι, οὕτως εἰπεῖν, ἀφ᾽ ἑαυτῶν πάντας τοὺς βιωτικοὺς διαλογισμοὺς καὶ τὰς μερίμνας, ἀθορύβως καὶ ἐν καθαρότητι ἰδιαζούσῃ τοῖς ἀσωμάτοις, θεωρῶμεν τὴν ὑπερουράνιον προπομπήν.

(α) Κολασ. Β΄. 8. (β) Ἑβρ. ΙΓ΄. 9. (γ) Β. Τιμόθ. Δ΄. 4. (δ) Α. Τιμ. Α. 7. (ε) Ἰωάν. ΙΒ. 48. (ϛ) Α. Τιμ. Δ. 8.



Αὐτὴ ἐμβάλλει ἐν τῷ στόματι ἡμῶν τὸν ἑξῆς χερουβικὸν ὕμνον: « Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν, ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι ταῖς Ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. »

Ὕμνος ἐπιφανὴς, κατανυκτικὸς, διασειστικός! οὗτος ἐνεργεῖ ἐπὶ τὰς καρδίας τῶν πιστῶν μετ᾽ ἰδιαιτέρας δυνάμεως, συνεχῶς αὐτὰς συγκινεῖ, καὶ ἀποσπᾷ ἐντρόμου κατανύξεως δάκρυα. Ἐν τούτοις πρὸς ἐκτέλεσιν τῆς εὐλαβοῦς συγκινήσεως ἐξέρχεται διὰ τῶν ἠνεῳγμένων πυλῶν ἐκ τῆς ἀπροσίτου τοῖς ἀνιέροις ἁγιωσύνης τοῦ θυσιαστηρίου ὁ Λειτουργὸς, ὡς ὁ τῆς Ἀποκαλύψεως Ἄγγελος, μετὰ τοῦ θυμιατηρίου, ἀναγγέλλων τὸ ἐπακολουθῆσον μέγα καὶ σωτηριῶδες μυστήριον. Ἐν γένει οὗτος ὁ τῆς θείας λειτουργίας καιρὸς τοσοῦτόν ἐστι παθητικὸς, ὥστε ἡ καρδία καὶ τὸ πνεῦμα ἀκουσίως κυριεύονται ὑπό τινος ἰδιαιτέρου τρόμου καὶ προσδοκίας μεγάλου τινὸς καὶ φοβεροῦ. Καὶ ἐπ᾽ ἀληθείας αἱ παθητικαὶ στιγμαὶ ἐφίστανται· καθότι ἡ μετὰ τῶν ἁγίων δώρων εἴσοδος ἐκ τοῦ θυσιαστηρίου ἐν τῷ ναῷ εἰκονίζει τὸ ἑκούσιον πάθος καὶ τὸν θάνατον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὡς Ἀρνίον ἐσφαγμένον πρὸ καταβολῆς κόσμου, ὡς Λυτρωτὴς τῶν ἀνθρώπων, ὁ ἐλθὼν θεῖναι τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῆς αὐτῶν σωτηρίας, πάντοτε ἀπεκάλυπτε τὸ θεῖον κήρυγμα τῆς σωτηρίας διὰ προφητικῶν ῥήσεων περὶ τοῦ σταυρικοῦ αὐτοῦ θανάτου· « μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν » (α). Οὕτως ἐπανέλεγε πολλάκις τοῖς Μαθηταῖς αὐτοῦ. Ἰδοὺ τέλος ἄγεται ἤδη, ὡς πρόβατον, ἐπὶ σφαγήν! ἐνατενίσατε, ἀδελφοὶ, ἐπὶ τὴν μεγάλην καὶ φοβερὰν προπομπήν· οἱ ἱερουργοῦντες ἐξερχόμενοι ἐκ τοῦ ἁγιαστηρίου πορεύονται διὰ τῆς αὐτῆς ὁδοῦ, δι᾽ ἧς ἐτελεῖτο καὶ ἡ μετὰ τοῦ ἁγίου Εὐαγγελίου εἴσοδος, ἀλλὰ νῦν οὐχὶ ὁ τοῦ Εὐαγγελίου ἦχος εὐφραίνει τὴν ψυχὴν, ἀλλὰ τὰ σημεῖα τοῦ σταυροῦ καὶ τοῦ θανάτου συγκινοῦσι τὴν καρδίαν· καθότι τὸ ἱερὸν

(α) Ματθ. ΙΖ΄. 22.

δισκάριον μετὰ τοῦ σφαγιασθέντος ἀμνοῦ προμηνύει τὸ πάθος καὶ τὴν σταύρωσιν, τὸ δὲ ἅγιον ποτήριον τοῦ οἴνου καταγγέλλει τὸν θάνατον τοῦ Κυρίου· οὕτως ἡ λαμπρὰ εὐαγγελικὴ ὁδὸς τοῦ Σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ μετεβλήθη εἰς αἱματηρὰν, παθητικὴν καὶ σταυρικὴν ὁδόν· οὕτως ὁ μέγας Μεσίτης ἡμῶν, ἀρξάμενος τὴν σωτηρίαν ἡμῶν ἀπὸ τοῦ κεχαριτωμένου κηρύγματος τῆς μετανοίας καὶ πίστεως, ἀποπερατοῖ αὐτὴν διὰ τῆς προσφορᾶς αὐτοῦ εἰς θυσίαν ὑπὲρ τῶν ἀνθρωπίνων ἁμαρτιῶν! λαμβάνει ἐκ τῆς χειρὸς τοῦ οὐρανίου Πατρὸς αὐτοῦ καὶ δεικνύει ἡμῖν τὸ ποτήριον τῶν παθημάτων αὐτοῦ, ὅπερ ἡ δικαιοσύνη τοῦ Θεοῦ προώρισεν αὐτῷ πιεῖν· οὕτως ἐφάπαξ σαφηνίζει ἡ ἁγία Ἐκκλησία τὴν μετὰ τῶν θείων δώρων εἴσοδον. « Ὁ Βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων προέρχεται σφαγιασθῆναι. » (α) Καὶ ἐὰν οἱ Ἄγγελοι ἀοράτως παρίστανται νῦν εὐλαβούμενοι ἐνώπιον τοῦ μεγάλου μυστηρίου, τίς τῶν πιστῶν οὐ κατανυγήσεται μετὰ συγκινήσεως καὶ κλονισμοῦ ψυχῆς ἐπὶ τῇ τοιαύτῃ φοβερᾷ καὶ μυστηριώδει δράσει; τίς οὐ κλινεῖ τὴν κεφαλὴν, ἀλλὰ καὶ προσπεσεῖται ἐν δάκρυσι μετανοίας ἐνώπιον τοῦ Λυτρωτοῦ τοῦ κόσμου, ἐπαναλαμβάνων μετὰ τῆς ἐκκλησίας τὴν προσευχὴν τοῦ εὐγνώμονος λῃστοῦ, « Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου » (β);

Ἀλλὰ μὴ ἀναχαιτίζετε, ἀδελφοὶ, τὴν εὐλαβητικὴν ὅρασιν! συνοδεύετε διὰ τῆς ὑμετέρας προσοχῆς τὴν μυστηριώδη προπομπὴν ἐν τῷ ἁγιαστηρίῳ! Ἰδοὺ ἀοράτως καὶ μυστικῶς ὁ ἐν τοῖς δώροις πορευόμενος ἀθλητὴς ἀνέρχεται ἐπὶ θρόνου. Τί δὲ τοῦτο σημαίνει; Αἱ, ἀδελφοί! ἐὰν τὸ ὄμμα τοῦ πιστεύσαντος λῃστοῦ διεῖδεν ἐν τῷ μεγάλῳ ἀθλητῇ τὸν Κύριον τῆς δόξης, ἐὰν ἐν τῷ τεθεατρισμένῳ σταυρῷ εἶδε τὸν θρόνον τοῦ Παντοκράτορος Βασιλέως, καὶ διὰ τοῦτο καθικέτευσεν αὐτὸν, ἵνα ὑποδεχθῇ ποτε αὐτὸν ἐν τῇ θείᾳ αὐτοῦ βασιλείᾳ, ἡμεῖς οὐ μέλλομεν ὁρᾷν ἐν τῷ μυστικῶς πορευομένῳ νῦν ἐπὶ τὸ πάθος καὶ τὸν θάνατον τὸν ἀρχηγὸν τῆς ζωῆς καὶ Σωτῆρα τοῦ κόσμου; ἰδοὺ ἡ ἁγία Ἐκκλησία πανηγυρικῶς ὑποδείκνυσι τὸν ἀοράτως ταῖς ἀγγελικαῖς δορυφορούμενον τάξεσι Βασιλέα τῶν ὅλων, « ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξό-

(α) Ὕμνος εἰς τὴν λειτ. τοῦ Μεγ. Σαββάτ. (β) Λουκ. ΚΓ'. 42.



μενοι ». Ἰδοὺ οὗτος ἐν τοῖς ἁγίοις δώροις ὑψοῦται ἐπὶ τῆς θείας τραπέζης· αὕτη ἡ ἁγία τράπεζα ἐστὶ τὸ θυσιαστήριον, ἐφ' οὗ ὁ Υἱὸς τοῦ Θεοῦ μυστηριωδῶς προσφέρεται, ὡς ἀμνός· ἀλλ' ἡ αὐτὴ ἐστι καὶ ὁ θεῖος ἐκεῖνος θρόνος, ἐφ' οὗ αὐτὸς καθίσει ποτὲ ἐν πάσῃ τῇ δόξῃ τῆς θεότητος, ὡς κριτὴς τοῦ κόσμου· ὢ πόσον δικαίως ἐκφέρεται ἤδη ἡ φωνὴ τοῦ εὐγνώμονος λῃστοῦ! ὢ πόσον ἐγκαίρως ἡ ἁγία Ἐκκλησία καθικετεύει τὸν Κύριον « μνησθῆναι πάντων τῶν ὀρθοδόξων χριστιανῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ »!

Ἐπὶ τῆς ἐκτελέσεως τῶν τοιούτων θείων ἱεροπραξιῶν, ἐπὶ τῆς ὁράσεως τῶν τηλικούτων μεγάλων καὶ μυστηριωδῶν ἐμφανίσεων, οὐκ ἔστι πρέπον ἵνα μάλιστα ἡμεῖς, οἱ ἐν τῷ ναῷ παρεστῶτες, διακρινώμεθα διὰ τῶν ἁγίων χαρακτηριστικῶν τῆς καθαρότητος καὶ τῆς ἀληθείας; ἢ οὐχὶ ὑπομιμνήσκει ἡμᾶς ἡ ἁγία Ἐκκλησία ὁποίους τινὰς βούλεται ἰδεῖν ἡμᾶς κατὰ ταύτην τὴν μεγάλην στιγμήν; αὕτη ἀπαιτεῖ παρ' ἡμῶν ἐν πρώτοις πνεῦμα ζώσης πίστεως καὶ καθαρότητος μετανοησάσης καρδίας· Προσεγγίζοντος τοῦ καιροῦ τῆς προσφορᾶς τῶν ἁγίων δώρων ἐκφωνεῖ αὕτη εἰς ἐπήκοον πάντων: « Ὅσοι κατηχούμενοι προέλθετε· μή τις τῶν κατηχουμένων· ὅσοι πιστοὶ τοῦ Κυρίου δεηθῶμεν ».

Ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία κατὰ τοὺς πρώτους χρόνους οὐ συνεχώρει τὴν θεωρίαν τῶν χριστιανικῶν μυστηρίων, οὐ μόνον τοῖς ἑτοιμαζομένοις μὲν εἰσελθεῖν ἐν τῇ ἁγίᾳ κοινωνίᾳ τῶν πιστῶν μήπω δὲ βαπτισθεῖσιν, ἀλλ' οὐδ' ἐκείνοις, οἵτινες μετὰ τὸ βάπτισμα ἐμόλυναν τὴν ἐν χάριτι ζωὴν αὐτῶν διὰ μεγάλων παραπτωμάτων· καὶ διὰ τοῦτο ἐπὶ τῶν ἱερουργιῶν, τῶν ἀναφερομένων εἰς τὴν ἐπιτέλεσιν τοῦ μεγάλου μυστηρίου τῆς εὐχαριστίας, οὐ συνεχώρει παρεῖναι, οὔτε τούτους, οὔτε τοὺς ἄλλους. Νῦν δὲ ἡ ἁγία Ἐκκλησία, καίπερ κατὰ μητρικὴν συγκατάβασιν εἰς τοῦτο μὴ ἐπιμένουσα, οὐχ ἧττον ὅμως ἐξακολουθεῖ κηρύττουσα τὴν ἐκχώρησιν, ὑπενθυμίζουσα διὰ τούτου τοὺς πιστοὺς, ἵνα διάγωσιν ἀξίως τῆς κλήσεως αὐτῶν, καὶ ἐπιτρέπουσα τὸν πραγματικὸν ἀποχωρισμὸν τῶν ἀναξίων εἰς τὴν ἰδίαν ἑκάστου συνείδησιν καὶ εἰς τὴν κρίσιν τοῦ Θεοῦ.

Τί δὲ, ἀδελφοί, διανοούμεθα ἡμεῖς περὶ ἑαυτῶν; ἱστάμεθα ἆρα ἐν τῇ τάξει τῶν πιστῶν, ἢ φεύγομεν ἔξω τοῦ ναοῦ, ὡς οἱ κατηχούμενοι; συνιστῶμεν ἆρα τὴν ἁγίαν ἐκλεκτὴν ποίμνην, ἢ ἀγέλην ἀνθρώπων ἀπελαυνομένων ἐκ τοῦ ἁγιαστηρίου; δικαιοῦμεν ἆρα τὴν τῶν πιστῶν προσηγορίαν διὰ τῆς πίστεως; διακρινόμεθα τῶν κατηχουμένων διὰ τῆς μαρτυρίας τῆς πνευματικῆς συνέσεως καὶ διὰ τῶν καρπῶν τῆς μετανοησάσης καρδίας; τί; ἐὰν ἡμεῖς πρὸς ταῖς ἀδιαλείπτοις ἁμαρτίαις, ταῖς ὡς ἐπὶ τὸ πολὺ μεγάλαις καὶ βαρείαις σφετεριζώμεθα τὴν ἁγίαν τῶν πιστῶν προσηγορίαν! ἐὰν ἐν ἀμερίμνῳ λήθῃ ἑαυτῶν, στηριζόμενοι ἐπὶ ταύτης τῆς νενοσφισμένης προσηγορίας, αὐθαδῶς προσερχώμεθα εἰς τὸ ἁγιαστήριον τοῦ Κυρίου καὶ πρὸς τὴν θεωρίαν τῶν μεγάλων θείων μυστηρίων! Ἡ θέσις ἡμῶν φρικτή! ἀλλ' οὐ βλέπομεν αὐτήν· ἔστω, ἀλλ' αἱ αἰσθήσεις ἡμῶν ἐν πολλοῖς δύνανται ἀπατᾷν ἡμᾶς. Ἡμεῖς ἐνατενίζομεν ἐπὶ τὰ τελούμενα ἐν τῷ ναῷ μεγάλα μυστήρια· ἀλλ' ἴσως ἀόρατος χεὶρ ἐπέθηκεν ἤδη ἐπὶ τῶν ἐσωτερικῶν ἡμῶν ὀμμάτων ἀδιαπέραστον κάλυμμα. Παριστάμεθα ἐνώπιον τοῦ κεχαριτωμένου ἁγιαστηρίου· ἀλλὰ παριστάμεθα ἴσως ὡς τόσα νεκρὰ σώματα, ἴσως αἱ ψυχαὶ ἡμῶν, ὡς ἀνάξιαι, ὑπὸ τῆς δικαίας τοῦ Θεοῦ κρίσεως μακρὰν τῆς ἱερᾶς τῶν πιστῶν ὁμηγύρεως ἀπεῤῥίφθησαν.

Μεγάλη ἐπ' ἀληθείας ἀπαιτεῖται παρ' ἡμῶν καθαρότης καὶ ἁγιότης, ὁπόταν ἱστάμεθα ἐνώπιον τοῦ ἠνεῳγμένου ἁγιαστηρίου, καὶ βλέπωμεν τὰ ἀκατάληπτα μυστήρια. Ὅθεν ἡ ἁγία Ἐκκλησία δεύτερον ἐντέλλεται ἡμῖν ἵνα « ἀποθώμεθα πᾶσαν βιωτικὴν μέριμναν », ὑπομιμνήσκουσα ἡμᾶς, ὅτι συνιστῶμεν μετὰ τῶν Ἀγγελικῶν Δυνάμεων ἕνα χορὸν ἐπουράνιον, τὰ Χερουβὶμ ἐν ἑαυτοῖς εἰκονίζοντες· ἀλλ' ἐν τούτοις βλέπουσα, ὅτι οὐδόλως ὁμοιάζομεν τοῖς Χερουβὶμ, μετὰ μητρικῆς προθυμίας καταπείθει ἡμᾶς καθάπαξ κατὰ τοῦτον τὸν ἅγιον καιρὸν, ἵνα, ἐγκαταλιπόντες πᾶν γήϊνον ἐν τῇ γῇ, πᾶν κοσμικὸν ἐν τῷ κόσμῳ, πετασθῶμεν ὑπεράνω τοῦ ὁρατοῦ, καὶ κατὰ τὸ παράδειγμα τῶν ἀθανάτων πνευμάτων ἐν καθαρᾷ πτήσει τοῦ πνεύματος παρασταθῶμεν ἀοράτως τῇ παρούσῃ ἐν τῷ ἁγιαστηρίῳ παναγίᾳ Τριάδι, καὶ νοερῷ βλέμματι συνοδεύωμεν τὸν διαβαίνοντα Χριστόν. « Σιγησάτω πᾶσα σὰρξ βροτεία,



καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω (α) »· διότι (ὡς ἐν ἑτέρᾳ προελεύσει τορώτερον βεβαιοῖ) « Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν ἀοράτως λατρεύουσιν· ἰδοὺ γὰρ εἰσπορεύεται ὁ βασιλεὺς τῆς δόξης (β) ». Πόσον πραγματικῶς μεγάλην ἐφ' ἑαυτοὺς φέρομεν προσηγορίαν, ὅταν μυστικῶς παριστῶμεν ἐν ἑαυτοῖς τὰ Χερουβίμ! εἰς οἷον ὕψος ἀκατάληπτον ἀνυψούμεθα, ὅταν ἐν ἑνὶ χορῷ μετὰ τῶν Ἀσωμάτων παριστάμεθα τῇ ζωοποιῷ Τριάδι! ἡλίκον ἀκατανόητον ὁρῶμεν μυστήριον, ὅταν ἐν τῷ ναῷ κατὰ ταύτην τὴν μεγάλην στιγμὴν, ὁ οὐρανὸς ἑνοῦται μετὰ τῆς γῆς, οἱ Ἄγγελοι μετὰ τῶν ἀνθρώπων, καὶ ὁ Θεὸς ὑπό τε τῶν ὁρατῶν καὶ ἀοράτων κτισμάτων ὑπό τε τῶν ἐνσωμάτων καὶ ἀσωμάτων δυνάμεων διὰ τοῦ τρισαγίου ὕμνου δοξολογῆται! Καὶ πόσον ἆρα δικαίως ἡ ἁγία Ἐκκλησία ἐπιβάλλει ἡμῖν τὸ καθῆκον, ἵνα « ἀποθώμεθα πᾶσαν τὴν βιωτικὴν μέριμναν, καὶ στῶμεν μετὰ φόβου καὶ τρόμου »;

Αἴ, ἀδελφοί! πάλιν καιρὸς ἵνα ἐπιστραφῶμεν εἰς ἑαυτούς. Ἐὰν κατὰ ταύτην τὴν φοβερὰν ὥραν, παριστάμεθα ἄνευ φόβου, ἄνευ κατανύξεως, ἄνευ προσοχῆς· ἐὰν καὶ νῦν τὸ πνεῦμα τῆς ματαιότητος καὶ τοῦ ῥεμβασμοῦ ζοφεροῖς ἴχνεσιν ὑποδεικνύηται ἐν πᾶσιν ἡμῶν τοῖς κινήμασιν· ἐὰν καὶ νῦν ἡ γῆ, ἡ μοιχαλὶς καὶ ἁμαρτωλὸς εὑρίσκῃ ἑαυτῇ ἐλεύθερον καταφύγιον ἐν ταῖς ἡμετέρας ψυχαῖς καὶ καρδίαις· εἴπατε, εἰκονίζομεν τὰ Χερουβίμ; ἄξιοι ἐσμὲν ἵστασθαι ἐν τῇ μετὰ τῶν Ἀγγέλων τάξει; ὢ, οὐχί· αἱ ἄνω Δυνάμεις οὐ συσταθήσονται μεθ' ἡμῶν, ἢ μᾶλλον, οὐ συγχωρήσουσιν ἵνα ἡμεῖς συμμεριζώμεθα μετ' αὐτῶν τὸν τρισάγιον οὐράνιον ὕμνον· ἡ Παναγία Τριὰς οὐκ ἀποκαλύψει ἡμῖν τὴν θείαν αὐτῆς δόξαν· ὁ Κύριος Ἰησοῦς οὐ δείξει ἡμῖν τὴν μεγάλην αὐτοῦ καὶ μυστηριώδη προέλευσιν.

« Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι (α), » ἐφοπλισθῶμεν παντὶ σθένει ἐναντίον τοῦ κόσμου καὶ τῆς ἁμαρτίας· στῶμεν ἀκραδάντως ὑπὲρ τῆς ἁγίας τῶν πιστῶν κλήσεως· μὴ ἀποβάλωμεν τὴν ὑψηλὴν ἐκείνην θέσιν, ἐφ' ἧς στήσει ἡμᾶς ἡ ἁγία Ἐκκλησία· ἐν πνεύματι ζώσης πίστεως ὡς τὰ Χερου-

---

(α) Εἰς τὴν λειτουρ. τοῦ μεγ. Σαββάτ. (β) Προηγιασμ. (γ) Ἑβρ. Γ'. 1.

βὶμ, ἐν θερμῇ ἀγάπῃ ὡς τὰ Σεραφὶμ, ἐν καθαρότητι ψυχῆς καὶ σώματος ὡς οἱ Ἄγγελοι, προσκυνήσωμεν τῇ ζωοποιῷ Τριάδι, καὶ σὺν αὐτοῖς ἀνυμνήσωμεν τὸν τρισάγιον ὕμνον. Ἐπὶ τῆς μεγάλης μετὰ τῶν μυστικῶν δώρων προπομπῆς προσπέσωμεν ἐν δάκρυσι μετανοίας καὶ προσευχῆς ἐνώπιον τοῦ διαβαίνοντος Χριστοῦ, καὶ συμπροπέμψωμεν αὐτὸν ἐπὶ τὸν μέγαν ἀγῶνα τοῦ πάθους, ἐπαναλαμβάνοντες τὴν προσευχὴν τοῦ εὐγνώμονος λῃστοῦ. Μὴ ἀφήσωμεν ἐκ τοῦ στόματος ἡμῶν τὴν σωτήριον ταύτην προσευχὴν ἕως τῆς τελευτῆς ἡμῶν· διότι καὶ ἐξυπνήσαντες μετὰ τὴν νύκτα τοῦ τάφου, καλῶς, κάλλιστα δυνάμεθα ἵνα προσηλώσωμεν τὸ πρῶτον βλέμμα ἐπὶ τοῦ Λυτρωτοῦ καὶ Κριτοῦ τοῦ κόσμου μετὰ τῆς προσευχῆς τοῦ λῃστοῦ, «Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου! Ἀμήν.

## ΛΟΓΟΣ Ε.

«Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν».

Πάλιν προσοχὴν, πάλιν εὐλάβειαν, πάλιν φόβον ἀναγγέλλει ἡ ἐκκλησία. Καὶ πάλιν ἄρα εὐκαίρως προετοιμαζόμεθα πρός τι μέγα καὶ φοβερόν. Καὶ ἀληθῶς οὕτως ἔχει. Ἡ ἁγία Ἐκκλησία προσέρχεται πρὸς τὴν ἁγίαν ἀναφορὰν, πρὸς τὴν ἐπιτέλεσιν τῆς Θείας Λειτουργίας, πρὸς τὴν προσφορὰν τῆς μυστηριώδους ἀναιμάκτου θυσίας.

Ὁποῖον ἀληθῶς μέγα καὶ ἀκατάληπτον τὸ τῶν Χριστιανῶν θεωρεῖον, ἡ ἁγία Λειτουργία! ἀδιακόπως βλέπομεν θαύματα, πανταχοῦ ἀναβρύει φῶς οὐρανίου δόξης, ὡς ἀστραπῆς. Ὑπαλλάσσονται αἱ ἱεροπραξίαι, ποικίλλονται αἱ εἰκόνες ἄλλη μετ' ἄλλην, ἡ μία τῆς ἄλλης μεγαλοπρεπέστερον, μυστικώτερον. Καὶ ἡμεῖς, ὡς Ἄγγελοι, πραγματικῶς ἱπτάμεθα ἢ ἐκ τῆς γῆς εἰς τὸν οὐρανὸν, ἢ ἐξ οὐρανοῦ εἰς τὴν γῆν. Νῦν μὲν ψάλλομεν συνάμα ταῖς οὐρανίαις δυνάμεσι, νῦν δὲ προσπίπτομεν ἐνώπιον τῆς ἀπροσίτου δόξης τῆς Παναγίας Τριάδος, νῦν δὲ ἀκολουθοῦμεν τῷ Σωτῆρι ἡμῶν ἐκ πόλεως εἰς πόλιν, ἐκ τόπου εἰς τόπον, ἀπὸ τῆς Βηθλεὲμ ἕως τῆς Ἱερουσαλήμ. Ἰδοὺ ἤδη καθοδηγεῖ ἡμᾶς πάλιν ἡ ἁγία Ἐκκλησία

SISMANOGLIO MEGARO



εἰς τὸ τῆς Σιὼν Ἀνώγεον, ἔνθα ὁ Χριστὸς τοῖς αὐτοῦ Μαθηταῖς καὶ πᾶσι τοῖς πιστοῖς τὴν μυστικὴν παρατίθησι τράπεζαν.

Νέον καταπληκτικὸν θεωρεῖον! ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἑτοιμάζεται ἵνα κλάσῃ τὸν θεῖον Ἄρτον, ἵνα ἁγιάσῃ τὸ ζωῤῥυτον ποτήριον· οὐχὶ μόνοι οἱ Μαθηταὶ, ἀλλ' ἅπασα ἡ τῶν πιστῶν ὁμήγυρις παρίσταται τούτῳ τῷ μεγάλῳ Θύτῃ. Καὶ ὁ πρῶτος λόγος, δι' οὗ ἀνοίγεται τὸ θεῖον αὐτοῦ στόμα, ἦν ὁ λόγος τῆς εὐχαριστίας πρὸς τὸν Θεὸν καὶ Πατέρα. «Καὶ λαβὼν ἄρτον, λέγει ὁ Εὐαγγελιστὴς, εὐχαριστήσας ἔκλασεν» (α). «Εὐχαριστήσωμεν τῷ Κυρίῳ,» τὸν αὐτὸν τοῦτον οὐράνιον ἦχον διαδίδωσι καὶ ἡ ἁγία Ἐκκλησία· εὐχαριστήσωμεν διὰ τὰς ἀνεκφράστους αὐτοῦ εὐεργεσίας, διὰ τὴν σωτήριον αὐτοῦ οἰκονομίαν, διὰ τὴν ἄπειρον αὐτοῦ ἀγάπην! «Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν.» (β) Ὦ, ἀληθῶς «ἄξιον καὶ δίκαιόν ἐστι! προσκυνεῖν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον!»

Μεθ' ὁποίας ὑψηλῆς σοφίας, μεθ' ὁποίας βαθείας σημασίας ἐκφωνεῖται ἐνώπιον τοῦ Κυρίου καὶ ὁ νικητήριος οὗτος ὕμνος. «Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης Σου· ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.» Ὁ ὕμνος οὗτος συνίσταται ἐκ τῆς δοξολογίας τῶν Σεραφὶμ, ἣν παρέδωκεν ἡμῖν ὁ Ἡσαΐας, (γ) καὶ ἐκ τῆς αἰνέσεως τοῦ λαοῦ τῆς Ἱερουσαλήμ. Μὴ ἐξίστασθε, ἀδελφοί, ἐπὶ τῇ τοιαύτῃ ὑμνολογιῶν συνδρομῇ. Ἡμεῖς δοξάσαντες τὸν Θεὸν, τὸν ἐν ἁγίᾳ Τριάδι αἰωνίως βασιλεύοντα, καὶ ἅμα βλέποντες ἐνώπιον ἡμῶν τὸν ἕνα τῆς Τριάδος, τὸν Υἱὸν τοῦ Θεοῦ τὴν ἀνθρωπότητα ἐνδεδυμένον, ἱστάμεθα, οὕτως εἰπεῖν, μεταξὺ οὐρανοῦ καὶ γῆς, μεταξὺ Θεότητος καὶ ἀνθρωπότητος· διὸ καὶ φυσικώτατα ἐκχέεται εἰς τὰ στόματα ἡμῶν ὕμνος ἁρμόδιος εἰς κατοίκους ἅμα μὲν τοῦ οὐρανοῦ ἅμα δὲ καὶ τῆς γῆς. Συνείροντες τὸν ὕμνον τὸν Ἀγγελικὸν καὶ τὸν ὕμνον τὸν ἀνθρώπινον ἐν ἑνὶ πανηγυρικῷ ὕμνῳ, καὶ προσαγορεύοντες δι' αὐτοῦ τὸν μέγαν Μεσίτην ἡμῶν Ἰησοῦν Χριστὸν, ὁμο-

(α) Λουκ. ΚΒ'. 19. (β) Ἰωάν. Γ'. 16. (γ) ς'. 3.

λογοῦμεν ἐν αὐτῷ δύο φύσεις, θείαν καὶ ἀνθρωπίνην· τὴν πρώτην δοξάζομεν διὰ τοῦ Ἀγγελικοῦ, τὴν δευτέραν διὰ τοῦ ἀνθρωπίνου ὕμνου. « Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις. »

Ἐνῷ οὕτως ὑμνολογοῦμεν τὸν Κύριον, αἴφνης ἀκούομεν τὴν γλυκυτάτην φωνὴν, τὴν προσκαλοῦσαν ἡμᾶς εἰς τὴν μυστικὴν τράπεζαν. « Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ, πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν ». Τίνος ἡ φωνὴ αὕτη, νομίζετε; ἀνθρωπίνη; ἱερουργική; ὢ, οὐχί· ἀγνοοῦμεν ἔτι τὴν περιπόθητον φωνὴν τοῦ διδασκάλου ἡμῶν; ἔτι οὐ κατανοοῦμεν ὅτι τοῦτο λέγει ἐκεῖνος, ὁσάκις μεταδίδωσι τὸ σῶμα καὶ αἷμα αὐτοῦ; δυνάμεθα ἐκλαβεῖν ὡς ἀνθρώπινον ὅ,τι ἀληθῶς ἐστι θεῖον; δυνάμεθα διανοεῖσθαι περὶ γηΐνου, ἔνθα τὸ πᾶν ἐστι θεῖον; ἐνατενίσατε, πιστοὶ, διὰ τοῦ ὄμματος τῆς πίστεως ἐπὶ τοῦτο τὸ μέγα Ἁγιαστήριον! Ὅλον ἐστὶ πεπληρωμένον οὐρανίου δόξης. Ἐκεῖ αὐτὸς ὁ Κύριος Ἰησοῦς διὰ τοῦ ἐπιγείου λειτουργοῦ, ὡς δι' ὀργάνου, ἱερουργεῖ· ἐκεῖ τὸ Πνεῦμα τὸ ἅγιον διὰ μυστικῆς ἐπελεύσεως μεταβάλλει τὸν ἄρτον εἰς αὐτὸ τὸ ἄχραντον σῶμα, καὶ τὸν οἶνον εἰς αὐτὸ τὸ τίμιον αἷμα τοῦ Χριστοῦ· Ἐκεῖ αἱ Ἀγγελικαὶ δυνάμεις παρίστανται μετὰ φόβου τῷ ἁγίῳ Ἀμνῷ, καὶ ἀναμὶξ μετὰ τῶν ἐπιγείων λειτουργῶν, εὐλαβῶς αὐτῷ διακονοῦσιν.

Βλέπετε, χριστιανοὶ, πόσον ἅγιον καὶ θεῖόν ἐστι τὸ ἡμέτερον χριστιανικὸν Ἀνώγεον! τοῦτο οὐδόλως μειονεκτεῖ τοῦ μεγάλου τῆς Σιὼν Ἀνωγέου, ἢ κάλλιον συνίστησι μετ' αὐτοῦ μίαν ἀχώριστον θείαν οἰκίαν· ἐπειδὴ καὶ ἐν τῇ ἡμετέρᾳ Σιὼν αἱ αὐταὶ ἐπιτελοῦνται ἱεροπραξίαι, αἵτινες ἐτελοῦντο ἐν τῇ Σιὼν τῆς Ἱερουσαλήμ.

Ὁ ἱερουργῶν τῇ ἁγίᾳ παριστάμενος καὶ θείᾳ θυσίᾳ, καὶ μνημονεύσας μυστικῶς μὲν πάντων τῶν Ἁγίων, ἐκφώνως δὲ τῆς ἀχράντου Μητρὸς τοῦ Θεοῦ, καθικετεύει τὸν Κύριον ἀντικαταπέμψαι τῷ κόσμῳ εἰρήνην, τῷ κράτει τὴν εὐλογίαν, τοῖς ἀνθρώποις πᾶσαν εὐόδωσιν καὶ ἄφεσιν ἁμαρτιῶν, ἐπισφραγίζων τὴν τοιαύτην ἐξιλέωσιν τῇ μεγαλοφώνῳ προσευχῇ « ἐν πρώτοις μνήσθητι Κύ-

SISMANOGLIO MEGARO



ριε κτλ· » ὁμοίως ὡς ὁ Χριστὸς ἐπὶ τοῦ δείπνου τὴν μυστικὴν αὐτοῦ ἱερουργίαν ἐπεσφράγισε τῇ θερμῇ πρὸς τὸν Πατέρα αὐτοῦ προσευχῇ ὑπὲρ πάντων τῶν πιστῶν. « Πάτερ Ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου. » « Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου. » (α) Καὶ καθὼς οἱ Μαθηταὶ τοῦ Κυρίου, οἱ Θεῖοι Ἀπόστολοι, μετὰ τὸν δεῖπνον « ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, » (β) οὕτω καὶ ἡμεῖς ἐν τῷ καιρῷ τῆς μεγάλης ἱερουργίας καὶ τῆς μυστικῆς τοῦ ἱερουργοῦντος προσευχῆς, προσπίπτομεν ἐνώπιον τοῦ θυσιαστηρίου, ἀναπέμποντες τὴν ἱλαστήριον εὐγνωμοσύνην τῷ Θεῷ, τῷ Προνοητῇ, τῷ Λυτρωτῇ, τῷ Φωτοδότῃ διὰ τὴν ἄπειρον αὐτοῦ ὑπὲρ τοῦ ἀνθρωπίνου γένους οἰκονομίαν, καὶ μακαρίζοντες τὴν Πανάμωμον Μητέρα τοῦ Κυρίου, τὴν διακονήσασαν εἰς τὸ μέγα μυστήριον τῆς ἀνθρωπίνης σωτηρίας. « Σὲ ὑμνοῦμεν, Σὲ εὐλογοῦμεν, Σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά Σου ὁ Θεὸς ἡμῶν. » Ἄξιόν ἐςιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν. » Ἰδοὺ ἡ ἀξία ἐπισφράγισις τῆς ἱεροπραξίας τῆς θείας εὐχαριστίας, μεθ' ἣν ἡ ἁγία Ἐκκλησία καθοδηγεῖ ἡμᾶς ἤδη ἐκ τοῦ Ἀνωγέου τῆς Σιὼν εἰς τὸν τόπον τοῦ πάθους καὶ τοῦ θανάτου τοῦ Λυτρωτοῦ.

Ἀλλ' ἵνα γενώμεθα ἄξιοι τοῦ παραστῆναι τῇ μυστικῇ τραπέζῃ, ἵνα σταθῶμεν εἰς τὸν χορὸν τῶν Ἀποστόλων, ἀπαραιτήτως ὀφείλομεν ἔχειν τοὺς ἁγίους ἐκείνους χαρακτῆρας, ἐκεῖνα τοῦ πνεύματος τὰ κινήματα, ὅσα ἐνετείλατο ὁ Ἰησοῦς Χριστὸς ἐπὶ τοῦ δείπνου τοῖς Μαθηταῖς, τουτέστιν, ἀγάπην καθαρὰν, καὶ πίστιν ἀληθινήν· « ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους » (γ) « Πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε, » (δ) ἔλεγεν ὁ Κύριος.

Καὶ φαντάσθητε, ἀδελφοὶ, μετὰ ποίας σεβασμιότητος πάντα ταῦτα μεταδίδωσιν ἡμῖν ἡ ἁγία Ἐκκλησία· ἀκούετε τὴν μητρικὴν

---

(α) Ἰωάν. ΙΖ'. 11. 17. (β) Μάρκ. ΙΔ'. 26. (γ) Ἰωάν. Κ'. 17. (δ) Αὐτόθ. ΙΔ'. 1.

αὐτῆς ἐπίκλησιν. «Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον»· βλέπετε τὴν ὑψηλὴν ἀξίαν τῆς ἀγάπης; διὰ τούτων τῶν στερεῶν καὶ ἀνεξιτήλων χρωμάτων εἰκονίζει ἐφ' ἡμᾶς ἡ ἀγάπη τὸ ὄνομα καὶ τὴν κλῆσιν τῶν Μαθητῶν τοῦ Χριστοῦ· «ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταὶ ἐστὲ, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις (α)». Ἡ ἀγάπη ἐν οὐρανίᾳ δεξιότητι ἐξεικονίζει ἐφ' ἡμᾶς τὸν μυςικὸν τύπον τοῦ ἑνιαίου τῆς Τρισυποστάτου Θεότητος. «Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον». Ἀλλ' ὁποία, νομίζετε, ἐςὶν ἡ ἀγάπη αὕτη; μὴ ἆρά ἐστι κοσμική; μὴ ἐκείνη, ἣν πάντοτε σχεδὸν βλέπομεν; ὢ, οὐχί! ἡ ἀγάπη αὕτη ἐστὶν ἀκάθαρτος, ἄστατος, ὑποκριτική. Μὴ ταύτην εἰσάγετε τὴν ἀγάπην ἐνταῦθα· ἀναξία ἐστὶ τοῦ ἱεροῦ τούτου χώρου. Τοῦτο τὸ «ἀλλότριον πῦρ (β)», ἀποῤῥίψει ὁ Κύριος, ὡς τὸ θυμίαμα τοῦ Ναβὰδ καὶ Ἀβιούδ. Ἰδοὺ ἡ ἐν τῷ θυσιαστηρίῳ προσενεχθεῖσα μεγάλη θυσία! ἰδοὺ ἐν τῷ θυσιαστηρίῳ εὐωδιάζει τὸ πῦρ τῆς οὐρανίου ἀγάπης! δέχεσθε τὸ ἱερὸν τοῦτο πῦρ· ἀνάπτετε δι' αὐτοῦ τὰς ὑμετέρας ψυχὰς καὶ καρδίας. Ἡ ὑποστατικὴ θεία Ἀγάπη, ἡ προσαγαγοῦσα τὸ σῶμα καὶ αἷμα αὐτῆς ἐν τῇ σωτηρίῳ θυσίᾳ ὑπὲρ τῶν ἀνθρώπων, ἀναγεννησάτω, ζωογονησάτω, ἁγιασάτω τὴν ἡμετέραν ἀγάπην· διὰ ταύτης τῆς καθαρᾶς ἀγάπης «ἀγαπήσωμεν, ἀδελφοὶ, ἀλλήλους»· ταύτην τὴν οὐράνιον ἀγάπην ἐπιμαρτυρήσωμεν ἤδη πρὸς τοὺς ἀδελφοὺς ἡμῶν, εἰ καὶ μὴ σωματικῷ πρὸς ἀλλήλους φιλήματι, ὡς οἱ ἀρχαῖοι χριστιανοὶ, πάντως ὅμως πνευματικῷ, «ἐν φιλήματι ἁγίῳ (γ)».

Ἐφεξῆς ἡ ἁγία Ἐκκλησία διατάττει ἵνα πανδημεὶ ἀπαγγέλλωμεν τὴν ὁμολογίαν τῆς πίστεως, ἐπαναλαμβάνοντες αὐτὴν τὴν οὐσίαν τῆς χριστιανικῆς διδασκαλίας· διὸ καὶ ὁ διάκονος ἐκφωνεῖ. «Τὰς θύρας, τὰς θύρας, ἐν σοφίᾳ πρόσχωμεν.» Τί τοῦτο σημαίνει; Ἡ πρώτη τῶν χριστιανῶν Ἐκκλησία δι' ὑπερτάτης ἦγε τιμῆς τὸ μυστήριον τῆς ἁγίας Εὐχαριστίας, ὅθεν καὶ αὐ-

(α) Αὐτόθ. ΙΓ'. 35. (β) Λευϊτ. Ι. 1, 2. (γ) Α'. Κορ. ις'. 20.



στηρῶς ἐτήρει ἵνα μηδὲν ἄτακτον κίνημα μηδοπωστιοῦν ἀμαυρώσῃ τὴν μεγάλην ταύτην ἁγιωσύνην. Ἅμα λοιπὸν ἐφίστατο τῆς ἁγίας ἀναφορᾶς ὁ καιρὸς, προσεῖχε μετὰ πάσης σπουδῆς ἐπιφυλάττειν τὰς θύρας τῆς Ἐκκλησίας, μή τις τῶν ἀναξίων χριςιανῶν, τουτέστι τῶν κατηχουμένων καὶ μετανοούντων, καὶ ἔτι μᾶλλον, μή τις τῶν ἐχθρῶν τῆς πίστεως, Ἰουδαίων καὶ ἐθνικῶν, εἰσέλθῃ εἰς τὴν ὁμήγυριν τῶν πιστῶν, καὶ ταράξῃ τὰς ἁγίας ταύτας ςιγμάς. Ἀλλ' ἐρεῖς, οὐχ ὑπάρχουσιν ἤδη ἐν ἡμῖν οὔτε κατηχούμενοι, οὔτε φανερῶς μετανοοῦντες, πολλῷ δὴ μᾶλλον οὐχ ὑπάρχουσιν ἐχθροὶ τοῦ Χριστιανισμοῦ· τίνος ἕνεκα λοιπὸν ἐξακολουθεῖ ἡ Ἐκκλησία λέγουσα, «τὰς θύρας, τὰς θύρας»; Ναὶ, οὐχ ὑπάρχουσιν ἤδη ἐχθροὶ ὁρατοὶ, καὶ διὰ τοῦτο οὐδ' ἀναγκαῖόν ἐστι τῆς Ἐκκλησίας φυλάττειν τὰς θύρας, ἀλλ' ἴσως ὑπάρχουσιν ἐχθροὶ ἀόρατοι, οἵτινες ὡς κλέπται καὶ λησταὶ οὐκ εἰσέρχονται διὰ τῆς θύρας, ἀλλ' ἀναβαίνουσιν ἀλλαχόθεν» (α)· ἴσως (ὃ δὴ καὶ οὕτως ἔχει) οὐχὶ διὰ τῶν θυρῶν μόνον δύναται εἰσελθεῖν ληστρικῶς ἐν τῷ Ἁγιαστηρίῳ αὐτὸς ὁ διάβολος. Ναὶ, ἀδελφοὶ, «πρόσχωμεν τὰς θύρας»! ἐμφράξωμεν πάσας τῆς ψυχῆς καὶ τῆς καρδίας τὰς θύρας, μήποτε εἰσφρήσωσι δι' αὐτῶν «τὰ πνευματικὰ τῆς πονηρίας» (β)· μηδέ τις ἀκάθαρτος λογισμὸς, μηδὲ σαρκικὸν πάθος διαταράξῃ κατὰ ταύτην τὴν ἁγίαν ὥραν τὸ πνεῦμα τῆς πίστεως καὶ τῆς κατανύξεως, τὸ πνεῦμα τῆς προσευχῆς καὶ τῆς εὐχαριστίας· ἐγκύπτωμεν εἰς τὸ μέγα τοῦτο τῆς ἀναφορᾶς μυστήριον, ὁμολογῶμεν τὴν ἁγίαν τοῦ Χριστοῦ πίστιν μετὰ καθαροῦ νοὸς καὶ πεφωτισμένης διανοίας· ἰδοὺ καὶ τὸ παραπέτασμα ἀφαιρεῖται ἐκ τῶν βασιλικῶν πυλῶν, καὶ τὸ Ἁγιαστήριον ἀποκαλύπτεται τῇ ἡμετέρᾳ ὁράσει, ἵνα «ἀνακεκαλυμμένῳ προσώπῳ κατοπτριζώμεθα τὴν δόξαν Κυρίου, καὶ σπουδάζωμεν αὐτοὶ μεταμορφοῦσθαι τὴν αὐτὴν εἰκόνα τῆς δόξης» (γ).

Πανηγυρικῶς ἀπαγγέλλεται αὐτὸ τὸ Σύμβολον τῆς πίστεως, «Πιστεύω εἰς ἕνα Θεὸν κτλ.» Χριστιανοί! ἔνεστιν ἆρα ἡ ἡμετέρα φωνὴ ἐν ταύτῃ τῇ ἀπαγγελίᾳ; ἀνταποκρίνεται ἆρα ἡ ἁγία

(α) Ἰωάν. Ι. 1. (β) Ἐφεσ. ς'. 12. (γ) Β'. Κορ. Γ'. 18.

ὁμολογία τῆς πίστεως πρὸς τὸν ἡμέτερον νοῦν καὶ τὴν καρδίαν; οὐ θυραυλεῖ αὕτη μόνον περὶ τὴν ἀκοὴν ἡμῶν, ὡς φωνὴ ἀλλοτρία; Φεῦ! μεθ' ὅσης πολλάκις ἀμελείας ἀπαγγέλλεται παρ' ἡμῶν ἡ ὑψηλὴ αὕτη διδασκαλία τῆς πίστεως! μεθ' ὅσης ἀπροσεξίας ἀκούεται! Κἀντεῦθεν πόσοι ἐξ ἡμῶν μετὰ τὴν ἀδιάλειπτον, οὕτως εἰπεῖν, ἐπανάληψιν τοῦ Συμβόλου τῆς πίστεως ἀναφαίνονται ἀγνοοῦντες τὴν ἑαυτῶν πίστιν! Πόσοι «πρὸς ἐντροπὴν ἡμῶν, ῥητέον κατὰ τὸν Ἀπόςολον, Θεοῦ ἔχουσιν ἀγνωσίαν» (α)! Πόσοι, τῶν μὲν ἀνθρωπίνων γνώσεων, τῶν πολλάκις ματαίων καὶ ἀντιθέων, τὴν στέρησιν θεωροῦσιν ἐσχάτην αὐτῶν ἐξουδένωσιν, οὐδαμῶς δὲ ὅμως ἐντρέπονται ἀγνοοῦντες τὸν Θεὸν καὶ τὸ μέγα τῆς αὐτῶν σωτηρίας μυστήριον! Ἀλλ' ἐπὶ τῇ τοιαύτῃ ἀγνωσίᾳ τῶν ἀληθειῶν καὶ τῶν δογμάτων τῆς πίστεως δύναται ὑπάρχειν ἐν ἡμῖν πίστις καθαρά; δύναται ὑπάρχειν τὸ πρέπον πρὸς τὴν ἁγιότητα σέβας; ἢ οὐχὶ διὰ τοῦτο πολλάκις ἡμεῖς καὶ κατ' αὐτὴν τὴν ἐκτέλεσιν τοῦ μυστηρίου τῆς εὐχαριστίας, τῷ μὲν σώματι συνανακείμεθα τῷ Χριστῷ, τῇ δὲ διανοίᾳ καὶ ταῖς ἐπιθυμίαις περιπλανώμεθα ἔξω ὡς ὁ Ἰούδας; καὶ ἐσθίομεν μὲν τὸ σῶμα τοῦ Χριςοῦ καὶ πίνομεν αὐτοῦ τὸ αἷμα, πάλιν δὲ ὁρμῶμεν εἰς προδοσίαν αὐτοῦ διὰ τῶν ἰδίων ἡμῶν παραπτωμάτων;

Ὦ, σπεύσωμεν, σπεύσωμεν, ἀδελφοί, καταυγάσαι τὸν νοῦν ἡμῶν διὰ καθαρᾶς διανοίας τῆς πίστεως, μετὰ προσοχῆς ἀκούοντες τὸ ἅγιον τῆς πίστεως Σύμβολον καὶ τὸ θεῖον Εὐαγγέλιον· σπουδάσωμεν θερμᾶναι τὰς καρδίας ἡμῶν δι' εἰλικρινοῦς πρὸς τὸν πλησίον ἀγάπης, ἔχοντες εἰς τοῦτο ὑπόδειγμα τὴν ἄπειρον ἀγάπην τοῦ Λυτρωτοῦ ἡμῶν· ἐν πνεύματι ζώσης πίστεως καὶ θερμῆς ἀγάπης εὐχαριστήσωμεν τῷ Κυρίῳ διὰ τὴν σωτηρίαν ἡμῶν, καὶ προσκυνήσωμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Παριστάμενοι τῇ θείᾳ καὶ ἀναιμάκτῳ Θυσίᾳ, προσφέρωμεν θυσίαν αἰνέσεως τῷ μεγάλῳ Μεσίτῃ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ ἐν εὐχαριστηρίῳ κατανύξει ἀνακράξωμεν πρὸς αὐτόν, «Σὲ ὑμνοῦμεν, Σὲ εὐλογοῦμεν, Σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου ὁ Θεὸς

(α) Α'. Κορ. ΙΕ'. 34.



ἡμῶν». Μακαρίσωμεν δὲ καὶ τὴν παναμώμητον Μητέρα Χριςοῦ τοῦ Θεοῦ ἡμῶν, εὐλαβῶς πρὸς αὐτὴν βοῶντες, «Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν». Ἐπὶ τέλους πρὸς τῇ ὑψηλῇ προσευχῇ, ἣν ὁ Λυτρωτὴς ἡμῶν διὰ στόματος τοῦ ἐπιγείου λειτουργοῦ ἀναπέμπει πρὸς τὸν αὐτοῦ Πατέρα ὑπὲρ τῶν πιστῶν, ἐπισυνάψωμεν καὶ τὴν ταπεινὴν ἡμῶν εὐχήν, ὅπως ὁ Θεὸς καὶ «Πατὴρ τῶν οἰκτιρμῶν» μνησθῇ ἡμῶν ἐνώπιον τοῦ θρόνου τῆς δόξης αὐτοῦ, δῷ ἡμῖν εἰς τὸ διηνεκὲς ἐν ἑνὶ ςόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, καὶ ὦσι διὰ παντὸς τὰ ἐλέη τοῦ Μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν. Ἀμήν.

## ΛΟΓΟΣ ϛ'.

*Πρόσχωμεν τὰ Ἅγια τοῖς Ἁγίοις.*

Τίνι ποτὲ τῶν Χριστιανῶν οὐκ ἔσται εὐκταῖον καὶ ἀρεστὸν τὸ ἰδεῖν τὴν ἁγίαν Γῆν, τὸ ἐπισκέψασθαι τοὺς τόπους, τοὺς ἁγιασθέντας διὰ τῆς πολιτείας καὶ τῶν ἔργων τοῦ Σωτῆρος ἡμῶν; τίς οὐκ ἐθελήσει ἀπελθεῖν εἰς Ἱερουσαλὴμ ἰδεῖν τὴν Γεθσημανῆ, προσπεσεῖν ἐπὶ τοῦ Γολγοθᾶ, προσκυνῆσαι τὸν τάφον τοῦ Κυρίου; ἐξ ἐναντίας οὐ λυπεῖται πᾶς καλὸς Χριςιανός, ὅτι ἡ ἁγία Γῆ κεῖται τυχὸν μακράν, ὅτι ἡ ἐπίσκεψις τῶν ἁγίων τόπων συνεζευγμένη ἐστὶ μετὰ πολλῶν κόπων καὶ δαπάνης; Θάρσει δοῦλε τοῦ Χριστοῦ ἀγαθὲ καὶ πιστέ, μηδὲ ἀθύμει προπετῶς ἐπὶ τῇ προμηθείᾳ. Νομίζεις, ὅτι πᾶσα ἡ ἁγιωσύνη περιεκλείσθη ἐν μόνῃ τῇ Παλαιστίνῃ; ὅτι ἀκολούθως οἱ πιστοὶ ἀποβαλόντες, οὕτως εἰπεῖν, ταύτην τὴν ἁγίαν Γῆν, ἀπέβαλον καὶ τὴν ἁγιότητα; οὐδαμῶς. Οἱ ὡραῖοι πόδες τῶν Ἀποστόλων περιῆλθον εἰς πᾶσαν τὴν Γῆν, καὶ ἡ μεγάλη ἁγιότης τῆς Ἱερουσαλὴμ διεδόθη εἰς πάντα τῆς οἰκουμένης τὰ πέρατα. Ἐνθυμήθητι ὅτι ἔκπαλαι ὁ ἀρχαῖος Βασιλεὺς τῆς ἁγίας Γῆς εἶπε, «Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ

ψαλάτωσάν σοι Ὕψιστε » (α). Ἐὰν λοιπὸν πᾶσα ἡ γῆ προσκυνῇ ἤδη τὸν Θεόν, ἄρα πᾶσα ἡ γῆ ἁγία, καὶ πᾶς τόπος ἐστὶ, « τόπος τῆς δεσποτείας τοῦ Θεοῦ » (β). Ἀληθῶς ἡ ἁγία Γῆ στενὴ ὑπῆρχεν ἕως τῆς ἐλεύσεως τοῦ Χριστοῦ, ἀλλὰ νῦν ἐπεξέτεινε τὰ ὅρια αὐτῆς ἐπὶ πᾶσαν τὴν γῆν, οὐδ' ὑπάρχει τόπος ἐν ὅλῳ τῷ κόσμῳ δυνάμενος εἶναι ὅριον αὐτῆς. Καὶ λοιπὸν, Χριστιανοὶ, ἑστῶτες ἐν τῷ ναῷ, παρόντες εἰς τὴν ἐκτέλεσιν τῆς μεγάλης Θυσίας, πάρεσμεν ἤδη ἐν τῇ ἁγίᾳ Γῇ. Πάντες οἱ ἱεροὶ τόποι ἐν ταῖς τῶν δρωμένων πραγμάτων μυστικαῖς σημασίαις μεταβαίνουσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν· πάντα τὰ μεγάλα γεγονότα ἀναφαίνονται ἓν κατόπιν τοῦ ἄλλου. Ἰδοὺ μετὰ τὸ Ἀνώγεον τῆς Σιὼν ἡ ἁγία Ἐκκλησία καθοδηγεῖ ἡμᾶς εἰς τὸν κῆπον τῆς Γεθσημανῆ, καὶ πόῤῥωθεν παρίστησι τὴν φοβερὰν εἰκόνα τοῦ Γολγοθᾶ.

Ὁπόταν ὁ ἱερουργῶν ἐν τῇ Λειτουργίᾳ διὰ τῆς πρὸς τὸν οὐράνιον Δεσπότην ἱλαστηρίου ἐκφωνήσεως ἐξεγείρῃ τοὺς πιστοὺς πρὸς τὴν ὑψηλὴν ἐκείνην καὶ ἱερὰν προσευχὴν, ἣν αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ Σωτὴρ ἡμῶν· ὁπόταν λέγῃ, « Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως, τολμᾷν ἐπικαλεῖσθαι Σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα »· οὐκ ἀκούεται ἆρα κατὰ ταύτην τὴν ὥραν ἡ φωνὴ τοῦ θεανθρώπου Ἰησοῦ Χριστοῦ, ἡ διεγείρουσα τοὺς Ἀποστόλους, « γρηγορεῖτε καὶ προσεύχεσθε » (γ); Τί δὲ ἄλλο ὑπομιμνήσκει καὶ αὐτὴ ἡ ὑφ' ὑμῶν ἐκφωνουμένη προσευχὴ, « Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, κτλ.», εἰμὴ τὴν προσευχὴν τοῦ Ἰησοῦ, μεθ' ἧς ἐκεῖνος προσέπιπτεν ἐνώπιον τοῦ Θεοῦ Πατρὸς αὐτοῦ ἐν τῷ κήπῳ τῆς Γεθσημανῆ; ὢ, πόσον ἁρμοδίως ἡ ἁγία Ἐκκλησία βάλλει καὶ ἡμᾶς εἰς προσευχὴν ἐνώπιον τοῦ οὐρανίου Πατρὸς κατ' ἐκείνην τὴν ὥραν, καθ' ἣν ἐκτενῶς ἐν αἱματηρῷ ἱδρῶτι δέεται ἐνώπιον αὐτοῦ αὐτὸς ὁ Μονογενὴς αὐτοῦ Υἱός! καὶ ὁποία καταπληκτικὴ ἀναλογία μεταξὺ προσευχῆς καὶ προσευχῆς! Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὡς Υἱὸς Μονογενὴς, βοᾷ πρὸς τὸν Θεόν. « Πάτερ μου », καὶ ἡμεῖς ὡς υἱοὶ κατὰ χάριν ἀνακράζομεν ἐνώπιον αὐτοῦ, « Πάτερ ἡμῶν. » Ἀλλὰ καὶ αὕτη καὶ ἐκείνη ἡ προσευχὴ τὸν αὐτὸν οὐράνιον Πατέρα ἐπικαλεῖται,

(α) Ψαλμ. ΞΕ'. 4. (β) Ψαλμ. ΡΒ'. 22. (γ) Ματθ. ς'. 41.

SISMANOGLIO MEGARO



καὶ αὕτη καὶ ἐκείνη ἐξαιτεῖται τὸ αὐτὸ ἅγιον αὐτοῦ θέλημα. « Γενηθήτω τὸ θέλημά σου », εἶπεν ὁ Χριστός· « Γενηθήτω τὸ θέλημά σου », λέγομεν καὶ ἡμεῖς. Οὕτως ἀμφότεραι αἱ προσευχαὶ φέρουσι τὸν αὐτὸν οὐράνιον τύπον· ἀμφότεραι αἱ προσευχαὶ ὡς δύω καθαροὶ ῥύακες ἐκ μιᾶς καὶ τῆς αὐτῆς ἐξέβλυσαν θείας πηγῆς.

Φρικώδη μετὰ ταῦτα ἀποκαλύπτονται φαινόμενα. Ἀναφαίνεται ὁ Γολγοθᾶς, ὑψοῦται ὁ σταυρὸς, διαδίδοται εἰς πᾶσαν τὴν γῆν καὶ ἀντηχεῖ εἰς τοὺς οὐρανοὺς τὸ θεῖον « τετέλεσται » (α)! καὶ ἐκ τούτου τοῦ ἤχου μεταβάλλεται ὁ οὐρανὸς, σείεται ἡ γῆ, σχίζεται τὸ καταπέτασμα τοῦ ναοῦ, ἀνοίγονται τὰ μνημεῖα τῶν ζωοποιηθέντων νεκρῶν. Χριστιανοὶ, παρατηρήσατε· — τὸ ἅγιον Βῆμα οὐκ ἔστι τὸ ὄρος τοῦ Γολγοθᾶ; ὁ ἐν τῷ μέσῳ αὐτοῦ ἱερὸς θρόνος οὐκ ἔστι τὸ σταυρικὸν θυσιαστήριον; οὐκ ἔστι τὸ μνημεῖον τοῦ Ἰησοῦ; Ἰδοὺ ἡ ἁγία Ἐκκλησία παρίστησι καὶ αὐτὰ τὰ γεγονότα ἐν ὀλίγαις μὲν, ἀλλ' ἰσχυραῖς ἐκφράσεσιν. Ὑψοῦται ὁ ἅγιος Ἀμνὸς ἐπὶ τῆς τραπέζης εἰς σημεῖον ὅτι ὑψώθη ἐπὶ τοῦ σταυροῦ ὁ Λυτρωτὴς τοῦ κόσμου Ἰησοῦς Χριστός. Ἀκούομεν ἀπὸ τοῦ Ἄμβωνος καὶ ἐκ τοῦ Θυσιαστηρίου τὰς διδακτικὰς ἐκφωνήσεις, « Πρόσχωμεν », καὶ, « τὰ Ἅγια τοῖς Ἁγίοις », ὡς ἠκούοντο ἀπὸ τοῦ σταυροῦ αἱ θεῖαι τοῦ Ἰησοῦ ἐκφράσεις. Διαδίδοται ἡ κατανυκτικὴ βοὴ τοῦ στίχου, « Εἷς Ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός », πιστοῦσα ἡμῖν τὴν θείαν δικαιοσύνην τοῦ Λυτρωτοῦ ἡμῶν, ὡς παρὰ τὸν σταυρὸν τοῦ Ἰησοῦ ὁ πιστεύσας ἑκατόνταρχος διεμαρτύρατο τὴν ἁγιότητα καὶ θεότητα τοῦ ἀποθανόντος Δικαίου, « ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος » (β). Εὐθὺς μετὰ τοῦτο ἀποπερατοῦται ἡ ἐν τῷ ναῷ λατρεία καὶ διακόπτονται αἱ ἱεροπραξίαι. Δι' αὐτῶν τούτων σαφῶς παρίσταται τὸ τέλος τῆς μεσιτευσάσης διακονίας τοῦ Ἰησοῦ Χριστοῦ, ὁ θάνατος καὶ ὁ ἐνταφιασμὸς αὐτοῦ. Λίαν ἐπαισθητὴ καθίσταται ἤδη πρὸς πάντα χριστιανὸν, παρεστῶτα ἐν τῷ ναῷ καὶ ἡ ἀθυμία ἐκείνη, δι' ἧς ἐτρώθησαν οἱ Ἀπόστολοι μετὰ τὸν θάνατον τοῦ Διδασκάλου αὐτῶν. Μόνον ὁ σύντονος καὶ κατανυκτικὸς ἦχος τοῦ κοινωνικοῦ παρέχει τινὰ ζωὴν, ἐνίησιν

(α) Ἰωάν. ΙΘ'. 30. (β) Ματθ. ΚΖ'. 54.

ἀκτῖνά τινα ἐλπίδος· μόνον ἡ ὑμνῳδία τῶν ψαλμῶν, ἐν οἷς, « ὡς ἐν τῷ νόμῳ Μωσέως καὶ Προφήταις γέγραπται περὶ Χριστοῦ » (α), ἐμβάλλει εἰς τὰς ἐζοφωμένας ψυχὰς ἐναργεστέραν τινὰ προαίσθησιν τῆς ἀναστάσεως, διδάσκουσαν, « ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστόν » (β).

Ἐν τούτοις, ὅτε ἐν τῷ ναῷ κατὰ τὸ φαινόμενον διεκόπη τὸ πᾶν, ἐν τῷ ἁγίῳ Θυσιαστηρίῳ παρεκτείνεται ἡ ἱερουργία, καὶ οἱ ἱερουργοῦντες δι' εὐλαβῶν καὶ ἱλαστηρίων αἰσθημάτων ἀπολαύουσι τῆς μυστικῆς τραπέζης, μεταλαμβάνουσι τῆς ἀθανάτου τροφῆς καὶ πίνουσι τὴν γλυκυτάτην ὑπερουράνιον πόσιν, ἐν οἷς σαφῶς ἀποκαλύπτεται ἡμῖν, ἔνθεν μὲν ἡ θανὴ τοῦ Ἰησοῦ Χριστοῦ κατὰ τὴν ἀνθρωπίνην σάρκα, ἔνθεν δὲ τὰ μεγάλα αὐτοῦ ἔργα μετὰ τὸν ἐνταφιασμόν, ἡ ἐν ᾅδῃ νικητήριος μετὰ τῆς ψυχῆς κάθοδος, ὁ μακάριος συμμερισμὸς τοῦ Παραδείσου μετὰ τοῦ λῃστοῦ, καὶ ἡ ἔνδοξος ἐνθάκησις ἐπὶ τοῦ οὐρανίου θρόνου μετὰ τοῦ ὁμοουσίου αὐτοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος. Ἡ ἁγία Ἐκκλησία μαρτυρεῖ περὶ τούτου ὧδέ πως, «ἐν τάφῳ σωματικῶς, ἐν Ἅδου δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος ».

Τοιαῦται ἡμῖν, ἀδελφοί, τῶν μεγάλων εὐαγγελικῶν γεγονότων αἱ ἀναμνήσεις. Τί δὲ ἤδη ἐμποδίζει ἕκαστον ἡμῶν ἵνα παρευρίσκηται ἐν τῷ κήπῳ τῆς Γεθσημανῆ, καὶ ἐν τῷ ὄρει τοῦ Γολγοθᾶ; τοὐναντίον μάλιστα, οὐχὶ καθ' ἡμέραν δυνάμεθα, ἐὰν ἐπιθυμῶμεν ἐν τῷ καιρῷ τῆς Λειτουργίας ἐπισκέπτεσθαι τοὺς ἁγίους τούτους τόπους, καὶ προσκυνεῖν αὐτούς; οὐ δυνάμεθα καθ' ἡμέραν συμπροσεύχεσθαι μετὰ τοῦ Ἰησοῦ τὴν ἱερὰν προσευχήν, καὶ προσπίπτειν ἐνώπιον τοῦ σωτηριώδους αὐτοῦ σταυροῦ; Ναί, καὶ ἤδη ἱστάμεθα ἐν τῷ κήπῳ τῆς Γεθσημανῆ, καὶ προσευχόμεθα μετὰ τοῦ Ἰησοῦ μίαν καὶ τὴν αὐτήν, οὕτως εἰπεῖν, θείαν προσευχήν.

Ἀλλ' ἐν τῇ τελείᾳ τῶν προσευχῶν ἰσότητι, ὁποία μεγίστη ἀνισότης φαίνεται ἐν τοῖς προσευχομένοις! ὁ Χριστὸς προσεύχεται μετὰ βαθείας προσοχῆς καὶ εὐλαβείας ἐνώπιον τοῦ Θεοῦ Πατρός·

(α) Λουκ. ΚΔ'. 44. (β) Αὐτόθ: 46.

SISMANOGLIO MEGARO



ἀλλ' ἡμεῖς προσευχόμεθα μετ' ἄκρας ἀπροσεξίας καὶ ῥεμβασμοῦ. Ὁ Χριστὸς προσεύχεται μετὰ τοιαύτης προθυμίας καὶ θερμότητος, ὥστε ἡ γῆ ῥαντίζεται ἐκ τοῦ ἱδρῶτος καὶ αἵματος αὐτοῦ (α)· ἀλλ' ἡμεῖς προσευχόμεθα τοσοῦτον ἀμελῶς, τοσοῦτον ψυχρῶς, ὥστε οὐδεμία ῥανὶς αἵματος δύναται θερμανθῆναι ἐν ἡμῖν ἐκ τῆς πρὸς τὸν οὐράνιον Πατέρα ἀγάπης καὶ ἀφοσιώσεως. Ἡ τοῦ Χριστοῦ προσευχὴ ἐκφέρεται καὶ μετ' ἐπάρσεως τῶν ὀφθαλμῶν εἰς οὐρανὸν (β), καὶ μετὰ πτώσεως ἐπὶ πρόσωπον εἰς τὴν γῆν (γ), καὶ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων ἀφθόνων (δ)· τὴν δὲ ἡμετέραν προσευχὴν οὐδὲν ἐπιμαρτυρεῖ, οὔτε κατανυκτικὸν βλέμμα, οὔτε θερμὴ προσκύνησις, οὔτε συντριβῆς στεναγμός, οὔτε μετανοίας δάκρυον. Τί οὖν ὁ κῆπος τῆς Γεθσημανῆ δι' ἡμᾶς, ἀδελφοί, ἐὰν οὐδὲ γινώσκωμεν, οὐδὲ προθυμώμεθα προσεύχεσθαι κατὰ τὸ παράδειγμα τοῦ Λυτρωτοῦ ἡμῶν; ἐὰν συμμεριζώμεθα οὐχὶ τὴν προσευχὴν μετὰ τοῦ Ἰησοῦ, ἀλλὰ τὴν τοῦ ὕπνου βαρύτητα μετὰ τῶν Ἀποστόλων; ὢ, πόσοι ἐξ ἡμῶν Πέτροι, οἵτινες μικρὰν τῶν μεγάλων ὑποσχέσεων δεικνύουσι τὴν ἐκπλήρωσιν, οἵτινες οὐ θέλουσιν οὐχὶ μόνον μίαν ὥραν, ἀλλ' οὐδὲ μίαν στιγμὴν μετὰ θερμοῦ ζήλου συμπροσεύχεσθαι τῷ Χριστῷ; πόσοι στόματι μὲν ὁμολογοῦσι τὸν Χριστόν, τῇ δὲ πολιτείᾳ καὶ τοῖς ἔργοις ἀρνοῦνται αὐτόν, ἐν πάσῃ δὲ ἁμαρτίας διαφθορᾷ λέγουσιν, «οὐκ οἶδα τὸν ἄνθρωπον » (ε); πόσοι τῇ μὲν γλώσσῃ λέγουσι, « ῥαββί, ῥαββί, καὶ τῷ στόματι καταφιλοῦσιν αὐτὸν » (ς), ἔργῳ δὲ ἀναφαίνονται προδόται; λέγουσι « Κύριε, Κύριε, καὶ οὐ ποιοῦσι τὸ θέλημα τοῦ οὐρανίου αὐτῶν Πατρός; Ὢ, εἴθε ἐν τῇ μεγάλῃ ἡμῶν ψυχρότητι πρὸς τὸν Χριστὸν καὶ τὸν ἅγιον αὐτοῦ νόμον, μιμηθῶμεν γοῦν τὴν τοῦ Πέτρου μετάνοιαν! ὢ, εἴθε ἀποπλύνωμεν τὰς ψυχὰς ἡμῶν ἐκ τῶν κηλίδων τῆς ἁμαρτίας διὰ πικρῶν δακρύων!

Ἰδού, ἀδελφοί, καὶ ὁ ἅγιος Γολγοθᾶς! ἰδοὺ καὶ ὁ μέγας, ὁ θεῖος Ἀθλητής! Δεῦτε προσκυνήσωμεν αὐτῷ, ὁμολογήσωμεν ἐνώπιον αὐτοῦ τὴν πίστιν ἡμῶν, ἀποκαλύψωμεν αὐτῷ τὴν ἡμετέραν ἀγάπην· προσπέσωμεν ἐνώπιον αὐτοῦ μετὰ προσευχῆς, ἵνα αὐτὸς ἐκ τοῦ ποτηρίου τῆς θυσίας, τοῦ ὑπερεκχειλιζομένου τῷ θείῳ αὐτοῦ

(α) Λουκ. ΚΒ'. 44. (β) Ἰωάν. ΙΖ'. 1. (γ) Ματθ. Κς'. 39. (δ) Ἑβρ. Ε. 7· (ε) Μαρ. ΙΔ'. 71. (ς) Αὐτόθι 45.

αἵματι, ἀφορίσῃ ῥανίδα καὶ ὑπὲρ καθαρισμοῦ τῶν ἁμαρτιῶν ἡμῶν. Ἀλλ' οἴμοι! ἐνταῦθα ἡ κάθαρσις τῶν ἁμαρτιῶν ἡμῶν, ἀλλ' ἐνταῦθα καὶ ἡ δοκιμὴ τῆς ἡμῶν πίστεως καὶ τὸ καθάρσιον πῦρ τῆς ἡμῶν ἀγάπης. Ἱερὸς, ἀξιοπροσκύνητος, ἀγαπητὸς ὁ Γολγοθᾶς δι' ἡμᾶς ἐπὶ τοσοῦτο μόνον, ἐφ' ὅσον ἱστάμεθα ἐπ' αὐτοῦ ὡς ἀλλότρια τοῦ Χριστοῦ ποίμνια. Ἡμεῖς ὠρεγόμεθα ἰδεῖν ἐπὶ τοῦ σταυροῦ μόνον τὸν Ἰησοῦν, ἄνευ ἡμῶν. Τί δὲ, ἐὰν ἐπήγνυτο πέριξ τοῦ σταυροῦ τοῦ Χριστοῦ πλῆθύς ἄλλων σταυρῶν εἰς ἰδιαιτέραν ἡμῶν μετὰ τοῦ Χριστοῦ σταύρωσιν; ὢ, ἀληθῶς, πάντες ἡμεῖς, ὡς οἱ Ἀπόστολοι, ἐμέλλομεν ἀποσκιρτήσειν φεύγοντες προτροπάδην ἀπὸ τοῦ Γολγοθᾶ, ἐπιλαθόμενοι καὶ τῆς τοῦ τόπου ἁγιότητος καὶ τοῦ Σωτῆρος ἡμῶν. Παρατηρεῖτε, ἀδελφοὶ, τί ἐστὶ δι' ἡμᾶς καὶ ὁ Γολγοθᾶς, ἐὰν μὴ ὑπάρχῃ ἐν ἡμῖν θερμὴ πρὸς τὸν Λυτρωτὴν ἡμῶν ἀγάπη· ἐὰν μὴ στέργωμεν συμμερίσασθαι μετ' αὐτοῦ μηδὲ τὸν ἐλάχιστον σταυρόν· ἐὰν ἀμνημονῶμεν τῶν λόγων τῆς Γραφῆς, « ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ » (α), καὶ, « ὃς οὐ λαμβάνει τὸν ςαυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω τοῦ Ἰησοῦ, οὐκ ἔστιν αὐτοῦ ἄξιος » (β).

Σπουδάσωμεν, Χριστιανοὶ ἀδελφοὶ, σπουδάσωμεν ἀξίως ἐπισκέπτεσθαι τὴν κεχαριτωμένην ἡμῶν Γεθσημανῆ καὶ τὸν μυστικὸν Γολγοθᾶ! Ὁπόταν ἄρξηται ἐν τῇ Ἐκκλησίᾳ ἡ Κυριακὴ προσευχὴ, « Πάτερ ἡμῶν, προσπέσωμεν ἐνώπιον τοῦ οὐρανίου ἡμῶν Πατρὸς, ὡς ἂν ἐν τῷ κήπῳ τῆς Γεθσημανῆ καὶ μετ' εὐλαβοῦς προσοχῆς ἐξετάσωμεν πᾶσαν αὐτῆς συλλαβὴν, ἀνατιθέμενοι πᾶσαν ἡμῶν τὴν ζωὴν εἰς τὸ θέλημα τοῦ οὐρανίου Πατρὸς, καὶ κατὰ τὸ παράδειγμα τοῦ Μονογενοῦς αὐτοῦ Υἱοῦ ἀφιέντες τοῖς ὀφειλέταις ἡμῶν πᾶν ὀφείλημα αὐτῶν πρὸς ἡμᾶς ἀναφερόμενον. Ὁπόταν ἀκούσωμεν τὰς μεγάλας ἀναφωνήσεις, « Πρόσχωμεν », καὶ, « τὰ Ἅγια τοῖς Ἁγίοις », προσπέσωμεν ἐνώπιον τοῦ σταυροῦ τοῦ Λυτρωτοῦ ἡμῶν, ὡς ἐν αὐτῇ ἐκείνῃ τῇ ὥρᾳ τοῦ πάθους αὐτοῦ, ἵνα ὁ μέγας Μεσίτης ἡμῶν ἁγιάσῃ καὶ ἡμᾶς τῷ θείῳ αὐτοῦ αἵματι, καὶ καταςήσῃ ἀξίους τῆς διαμονῆς ἐν τῇ κληρονομίᾳ τῶν Ἁγίων. Ἐν τῷ καιρῷ τοῦ κοινωνικοῦ, ὁπόταν τὸ εὐλογημένον σάββατον

(α) Πράξ. ΙΔ'. 22. (β) Ματθ. Ι. 38.



ἀναπαύῃ ἐν τῷ τάφῳ τὸν μέγαν Κεκοιμημένον, προσδράμωμεν ἐπτερωμένῃ τῇ διανοίᾳ ἐπὶ τὴν πνευματικὴν φυλακὴν, ἀγαλλιασώμεθα ἐπὶ τῇ λυτρώσει ἡμῶν ἀπὸ τῶν αἰωνίων δεσμῶν, ἐμβλέψωμεν καὶ ἐν τῷ Παραδείσῳ πρὸς τὸν λῃστὴν, εὐλαβῶς γονυπετήσωμεν ἐνώπιον τοῦ οὐρανίου θρόνου τοῦ Βασιλέως Ἀθλητοῦ, καὶ ῥιφθέντες εἰς ἔδαφος μὴ σταθῶμεν μετὰ τῶν Ἀποστόλων, ὥστε λυπεῖσθαι μόνον καὶ κλαίειν, ἀλλὰ μετὰ τῶν Μυροφόρων ἑτοιμάσωμεν μῦρα, καὶ πορευθῶμεν ἐπὶ τὸ μνημεῖον ἐπὶ τῇ προσδοκίᾳ, ὅτι τὸ ἅγιον μνῆμα ταχέως ἀπολύσει ἐκ τῶν νεκρῶν τὸν μέγαν Πρωτότοκον, καὶ ὁ ἀστραπόμορφος Ἄγγελος ἀναγγελεῖ καινὴν ζωὴν ἐκ τοῦ μνήματος τοῦ Ζωοδότου. Ἀμήν.

# ΛΟΓΟΣ Ζ'.

« Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν ».

Ἐσήμανε τέλος πάντων ἡ ὥρα, ἣν ὁ σύμπας κόσμος προσεδόκα πλέον τῶν πέντε χιλιάδων ἐτῶν. Ἡ γῆ ἐσείσθη, ὅπως διαῤῥήξῃ τὰ δεσμὰ τῆς κατάρας, καὶ σταθῇ ἐπὶ τοῦ σημείου τῆς ἀρχεγόνου εὐλογίας. Ἐπέστη τὸ μεσονύκτιον, καὶ τὸ οὐράνιον φῶς ἀνήγγειλε τὴν προσέγγισιν τῆς μεγάλης ἡμέρας τῆς σωτηρίας τῶν ἀνθρώπων. Διηνοίχθη τοῦ μνήματος τὸ σπήλαιον, καὶ ὁ μέγας τοῦ θανάτου καὶ τοῦ ᾅδου Δεσμώτης ἐξῆλθεν ἐκ τῶν κόλπων τῆς γῆς πλήρης θείας ζωῆς καὶ δόξης, ὡς νικητὴς τοῦ θανάτου καὶ καθαιρέτης τοῦ Ἅδου, ὡς δεσπότης τῆς οἰκουμένης καὶ βασιλεὺς τῶν Ἀγγέλων καὶ τῶν ἀνθρώπων.

Ὅλον τοῦτο τὸ θεῖον φῶς, ὅλη αὕτη τῆς Ἀναστάσεως ἡ δόξα καταυγάζει καὶ τὴν Λειτουργίαν ἡμῶν τῶν Χριστιανῶν. Πάντα τὰ μεγάλα γεγονότα, καὶ αἱ περὶ τὸ ἅγιον Μνῆμα φωτοφόροι ἐμφανίσεις ἐπιφαίνονται καὶ ἡμῖν ἐν τῷ ναῷ. Παρατηρεῖτε, ἀδελφοὶ, ὅτε μετὰ τὴν ἀποπεράτωσιν τοῦ κοινωνικοῦ, ὡσὰν μετὰ νυκτερινὴν γαλήνην, ἐξεγείρεται ἡ ἁγία ζωὴ καὶ ἡ ἱερουργία ἐν τῷ ναῷ· ὅτε ἀνοίγεται τὸ κεκλεισμένον Ἁγιαστήριον, οὗ βλέπομεν αὐτὸ ἐκεῖνο, ὅπερ καὶ ἐν τῇ Ἀναστάσει τοῦ Σωτῆρος ἐγένετο; τὸ ἀφαι-

ρούμενον παραπέτασμα ὑπομιμνήσκει τὸν σεισμὸν τῆς γῆς, καὶ τὸν λίθον τὸν ἀποκυλισθέντα ἐκ τῆς θύρας τοῦ μνημείου· αἱ ἀνοιγόμεναι ἅγιαι θύραι δεικνύουσι τὴν διάνοιξιν τοῦ μνήματος καὶ τὴν ἀνέγερσιν τοῦ Θεανθρώπου· ὁ Διάκονος ὁ ἀνοίγων τὰς θύρας καὶ ἐπιφαινόμενος ἐν αὐταῖς, εἰκονίζει τὸν Ἄγγελον τὸν καθήμενον ἐπὶ τοῦ μνήματος καὶ εὐαγγελισάμενον τὴν Ἀνάστασιν. Ἀλλ' ὁπόταν ἴδητε τὴν ἐμφάνισιν τῶν ἁγίων Δώρων, καὶ ἀκούσητε τὴν φωνήν, « μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε », τότε συγκεντρώσατε ὅλον τὸ εὐλαβὲς πνεῦμα, προσηλώσατε ὅλην τὴν ἱκετήριον ὅρασιν, τότε μετὰ καθαρᾶς πίστεως καὶ φόβου Θεοῦ προσκυνεῖτε τῇ μυστικῇ ἐμφανίσει· ἡ ἐμφάνισις αὕτη ἐμφάνισίς ἐστιν αὐτοῦ τοῦ ἀναστάντος Χριστοῦ! ὁποίαν δὲ σοφὴν προσαγόρευσιν προσαγορεύει αὐτῷ ἡ ἁγία Ἐκκλησία; ὁ χορὸς τῶν πιστῶν κράζει, « Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν ». Οὕτως ἡμεῖς ὑπαντῶμεν τῷ Χριστῷ, τῷ ἐγερθέντι ἐκ τοῦ μνήματος, καθ' ὁμοίωσιν τῶν παίδων τῶν Ἑβραίων, ὡς μεγάλῳ βασιλεῖ ἐξερχομένῳ τοῦ βασιλείου θαλάμου. Ὁμολογοῦμεν αὐτοῦ τὴν Θεότητα καὶ τὸ νικητήριον κράτος ἐπὶ τοῦ θανάτου κατὰ τὸ παράδειγμα τοῦ πιστεύσαντος Θωμᾶ, τοῦ εἰπόντος « ὁ Κύριός μου καὶ ὁ Θεός μου » (α), « εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν ». Ἀκολούθως ἐπιφαίνεται ὁ ἱερουργῶν, καὶ εὐλογεῖ τὸν λαὸν λέγων· « Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου ». Οἱ παρεστῶτες ἀποκρίνονται αὐτῷ διὰ τοῦ ὕμνου, « εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν ». Ἡ πρὸ τῶν Ἁγίων πυλῶν ἐπαναλαμβανομένη τῶν ἱερουργούντων ἐμφάνισις σημαίνει τὴν μετὰ τὴν ἀνάστασιν πολλαπλῆν τοῦ Ἰησοῦ Χριστοῦ πρὸς τοὺς Ἀποστόλους ἐμφάνισιν. Ἐν τῇ ἐκφερομένῃ εὐλογίᾳ παρέχεται τοῖς πιστοῖς εἰρήνη, ἣν ὁ Χριστὸς τοῖς Ἀποστόλοις μετέδωκεν. Ὁ χαρμόσυνος ὕμνος τῶν παρεστώτων μαρτυρεῖ περὶ τῆς κεχαριτωμένης ἐμφανίσεως τοῦ

(α) Ἰωάν. Κ'. 28.



ἁγίου Πνεύματος πρῶτον μὲν διὰ τῆς δωρεᾶς αὐτοῦ τῆς διὰ Ἰησοῦ Χριστοῦ δοθείσης τοῖς Μαθηταῖς ἐν τῇ ἡμέρᾳ τῆς Ἀναστάσεως, εἶτα δὲ διὰ τῆς πλουσίας ἐκχύσεως ἐπὶ πάντας τοὺς πιστοὺς ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς.

Ἐπὶ τέλους ἐκ δευτέρου καὶ οἱονεὶ τελευταῖον ἐμφανίζεται τῷ λαῷ ὁ ἱερουργῶν μετα τῶν ἁγίων Δώρων, εἰς σημεῖον τῆς ἐπὶ τοῦ ὄρους τῶν Ἐλαιῶν τελευταίας τοῦ ἀναστάντος Χριστοῦ ἐμφανίσεως, καὶ εὐλογήσας δι' αὐτῶν σταυροειδῶς τὸν λαόν, ἀπέρχεται, εἰκονίζων δι' αὐτοῦ τὸν Χριστόν, χωριζόμενον ἀπὸ τῶν Ἀποστόλων, καὶ μετὰ τὴν πρὸς αὐτοὺς εὐλογίαν ἀνερχόμενον εἰς τοὺς οὐρανούς. Τὰ περιστατικὰ τῆς Ἀναλήψεως τοῦ Κυρίου ὁ εὐαγγελιστὴς Λουκᾶς διαζωγραφεῖ ἐν τούτοις τοῖς λόγοις· «Καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς· καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτούς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν » (α). Ἡ ἐκφώνησις τοῦ ἱερουργοῦντος, « πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων », ὑπομιμνήσκει τοὺς πιστοὺς περί τε τῆς μετ' αὐτῶν ἐπὶ τῆς γῆς διηνεκοῦς τοῦ Ἰησοῦ Χριστοῦ ἐν χάριτι διαμονῆς, καὶ περὶ τῆς αἰωνίου ἐν οὐρανοῖς ἐνδόξου αὐτοῦ βασιλείας, καὶ ἀντικαθίστησι τὰ λόγια τοῦ Σωτῆρος, ἅτινα ἐξέφρασε τοῖς Ἀποστόλοις ἐν τῇ Ἀναλήψει, « ἰδοὺ ἐγὼ μεθ' ἡμῶν εἰμὶ πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος » (β). Δῆλον δέ, ὅτι οἱ ἅγιοι Ἀπόστολοι μετ' εὐχαριστηρίων βλεμμάτων προέπεμπον τὸν Κύριον αὐτῶν εἰς τὸν οὐρανόν, καὶ κατέλιπον τὸ ὄρος τῶν Ἐλαιῶν « μετὰ χαρᾶς μεγάλης » (γ). Καὶ ἡμεῖς ἐντελῶς συμμεριζόμεθα τοὺς διαλογισμοὺς αὐτῶν καὶ τὰ αἰσθήματα, ὁπόταν, ἀναπέμποντες τὴν τελευταίαν προσκύνησιν πρὸς τὰ ἅγια Δῶρα, ἀνοίγωμεν τὸ στόμα πρὸς εὐχαριστίαν καὶ αἴνεσιν τοῦ Κυρίου, « πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου Κύριε ». Ἰδού, ἀδελφοί, αἱ ἱεροπραξίαι, αἵτινες ζωηρῶς καὶ ἐπιφανῶς ἀποδιδόασιν ἡμῖν τὰ τελευταῖα εὐαγγελικὰ γεγονότα, ἐν οἷς σαφῶς ἐξεικονίζεται πᾶσα ἡ ἔνδοξος διαμονὴ τοῦ Ἰησοῦ Χριστοῦ ἐπὶ τῆς γῆς ἀπὸ τῆς Ἀναστάσεως αὐτοῦ ἕως αὐτῆς τῆς Ἀναλήψεως!

(α) Λουκ. ΚΓ'. 50—52 (β) Ματθ. ΚΗ. 20. (γ) Λουκ. ΚΔ'. 52.

Διὰ τούτων τῶν ἱεροπραξιῶν ἀποπερατοῦται, οὕτως εἰπεῖν, ἡ θεία Λειτουργία, οὐχὶ δὲ καὶ ἡ σωτήριος αὐτῶν δύναμις· μὴ γὰρ εἰς μίαν καὶ μόνην ὅρασιν μυστικὴν συνίσταται πᾶσα ἡ χάρις, ἡ ὑπὸ τῆς Λειτουργίας ἡμῖν παρεχομένη; Ἡ ἱερὰ Λειτουργία, ὡς προηγουμένως εἴπομεν, δεῖπνός ἐστι μυστικὸς, πνευματικὴ τῶν πιστῶν ἑστίασις· ποῦ ἡ ἁγία τροφὴ, ἡ τὴν καρδίαν στηρίζουσα; ποῦ ἡ οὐράνιος πόσις, ἡ εὐφραίνουσα τὴν ψυχήν; Αἴ, ἀδελφοί! οὔπω βλέπομεν τὴν δαψιλῆ θείαν τράπεζαν; οὐδ᾽ἀκούομεν τὰς προσκλήσεις εἰς τὸν μέγαν πνευματικὸν δεῖπνον; τίνος οἱ προφερόμενοι λόγοι, « μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε »; τοῦτο αὐτὸς ὁ Κύριος ἐκφωνεῖ, ἀδελφοί! αὐτὸς ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τὴν ἄνοιξιν τῶν ἁγίων θυρῶν, οὐ μόνον ὡς ἀναστὰς ἡμῖν ἐμφανίζεται, ἀλλὰ καὶ ὡς σταυρωθεὶς μεταδίδωσιν ἡμῖν τὸ θεῖον αὐτοῦ σῶμα, καὶ τὸ τίμιον αὐτοῦ αἷμα· αὐτὸς θέλει ἵνα ἐμπλήσῃ καὶ καθηδύνει πάσας ἡμῶν τὰς αἰσθήσεις καὶ τὴν ψυχὴν καὶ τὴν καρδίαν· λέγει καὶ ἡμῖν, ὥς ποτε τοῖς Ἀποστόλοις ἔλεγεν, « ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου· ψηλαφίσατέ με καὶ ἴδετε (α) »· « Μετὰ φόβου θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε πρός με ».

Ἰδοὺ ἀληθῶς ἐκεῖνος ὁ ἐν τῇ εὐαγγελικῇ παραβολῇ μνημονευόμενος βασιλεὺς, ὅστις « ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς (β) ». Ἰδοὺ ἐκεῖνος, ὅστις εἶπεν, « ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα (γ)». Ἀλλ᾽, ὦ θεέ μου! πολλοὶ ἆρα ἕτοιμοι εἰς τὸν γάμον; πολλοὶ ἆρα οἱ ἐκλεκτοί; πολλοὶ ἆρα οἱ προσερχόμενοι τῇ θείᾳ τραπέζῃ; οὐδείς· « Καὶ ἤρξαντο παραιτεῖσθαι πάντες (δ) ». Οἱ χριστιανοὶ ἀρνοῦνται τὸν Χριστὸν, ἀπαλλοτριοῦνται τοῦ θείου Δείπνου, οὐ μεταλαμβάνουσι τοῦ μεταδιδομένου αὐτοῖς σώματος καὶ αἵματος τοῦ Χριστοῦ—φρικώδης ἀτοπία! Πρὸς τί δὲ καὶ πιστεύομεν εἰς τὸν Χριστόν; πρὸς τί καὶ ἀποκαλούμεθα χριστιανοί; πῶς δυνάμεθα προσδοκᾷν καὶ τὴν μέλλουσαν μακαρίαν ζωήν; οὐχὶ ὑπὲρ ἡμῶν ὁ Χριστὸς ἐνηνθρώπισεν; οὐχὶ ὑπὲρ ἡμῶν ἔπαθε καὶ ἀπέθανεν; οὐχὶ ἡμῖν ἡτοίμασε τὸν οὐράνιον δεῖπνον; οὐχὶ ἡμᾶς ἀναμένει εἰς τὴν μακαρίαν αὐτοῦ δόξαν; « Καὶ

(α) Λουκ. ΚΔ'. 39. (β) Αὐτόθ. ΙΔ'. 16. (γ) Αὐτόθι ΙΔ'. 17. (δ) Αὐτόθι 18.

SISMANOGLIO MEGARO



ἤρξαντο παραιτεῖσθαι πάντες »· πάντες παραιτοῦνται, ὁ μὲν ὑπὸ ἀσχολιῶν, ὁ δὲ ὑπὸ περισπασμῶν, ἄλλος ὑπὸ ἀπροετοιμασίας, τινὲς ὑπὸ ἀναξιότητος· οὔπω γὰρ λέγω περὶ ἐκείνων, οἵτινες οὐδ᾽ αἰσθάνονται ὅλως τὴν ἁγίαν ἀνάγκην τῆς Μεταλήψεως. Πάντες παραιτοῦνται τῆς θείας τραπέζης· διὰ τί δὲ οὐ παραιτοῦνται καὶ τῶν ἀνθρωπίνων τραπεζῶν; ὢ, μετὰ ποίας ἀπληστίας οἱ πάντες σχεδὸν παραδίδονται εἰς ἐκείνους τοὺς γηίνους δείπνους, εἰς ἐκεῖνα τοῦ κόσμου τὰ συμπόσια, ἔνθα τρέφεται μόνη ἡ αἰσθητικὴ σὰρξ, ἔνθα θεραπεύεται μόνη ἡ μαινομένη κοιλία! μετὰ ποίας σπουδῆς προσεπιφορτίζουσι τὸ σῶμα αὐτῶν, ὅπως προσφέρωσιν αὐτὸ θῦμα τῇ φθορᾷ, καὶ ἄξιον δασμὸν τῷ θανάτῳ, ἀντὶ τοῦ τρέφειν τὴν ψυχὴν διὰ θείας τροφῆς, καὶ προετοιμάζειν τὸ σῶμα δι᾽ ἐγκρατείας, καὶ καθαριότητος πρὸς τὴν μετὰ τῆς ψυχῆς ἀνάβασιν εἰς τὸν οὐρανόν!

Ἀλλ᾽ οὐ δυνάμεθα ἴσως ἡμεῖς, ὡς οἱ ἀρχαῖοι χριστιανοὶ, συχνότερον προσέρχεσθαι πρὸς τὴν ἁγίαν Εὐχαριστίαν· ἔστω· ἀλλὰ κᾂν βλέπομεν συχνότερον τὰς θείας ἐμφανίσεις τοῦ Χριστοῦ, ὁπόταν ἐπιφαίνωνται ἐν ταῖς ἁγίαις θύραις τὰ μυστικὰ Δῶρα; βλέπομεν ἆρα τὴν ἁγίαν Ἀνάστασιν τοῦ Κυρίου; « κρατοῦμεν, ὡς αἱ Μυροφόροι, μετὰ φόβου τοὺς θείους αὐτοῦ πόδας (α) »; προσκυνοῦμεν, ὡς οἱ Ἀπόστολοι, μετὰ πίστεως τὸν Χριστὸν, ἰδόντες αὐτόν; « ἢ μόνον μετὰ ψυχροῦ δισταγμοῦ ἐκπληττόμεθα ἐπὶ τῇ ὁράσει (β)»; Τί, ἐὰν ὁ Σωτὴρ καὶ ἡμῖν ὑπαντᾷ διὰ τῆς αὐτῆς ἐκείνης ἐπιπλήξεως, « ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλάλησαν οἱ Προφῆται (γ) »; Τί, ἐὰν ὁ ἐπιφανεὶς « Κύριος ὀνειδίζει καὶ ἡμῶν τὴν ἀπιστίαν καὶ σκληροκαρδίαν (δ)»; Βλέπομεν ἆρα τὴν θείαν Ἀνάληψιν τοῦ Σωτῆρος; συναναφερόμεθα καὶ αὐτοὶ κατόπιν αὐτοῦ δι᾽ εὐχαριστηρίου εὐλαβοῦς διανοίας; ὁ Χριστὸς, ἡ κεφαλὴ, καὶ ὁ Λυτρωτὴς ἡμῶν, εἰς τοὺς οὐρανούς· ἔχομεν ἆρα συγγένειάν τινα καὶ ἡμεῖς πρὸς τὸν οὐρανόν; ἵπταται τὸ πνεῦμα καὶ ἡ καρδία ἡμῶν εἰς τοὺς οὐρανοὺς, « ὅπου ὁ ἀληθὴς ἡμῶν θησαυρὸς (ε) », ἢ μόνον πλανώμεθα ἐπὶ τῆς γῆς, καὶ ζητοῦμεν ἄλλους ἀλλοτρίους

(α) Ματθ. ΚΗ. 9. (β) Αὐτόθι 17. (γ) Λουκ. ΚΔ'. 25. (δ) Μάρ. Ιϛ'. 14.
(ε) Ματθ. ϛ'. 21.

θησαυρούς; ἀνυψοῦνται οἱ διαλογισμοὶ καὶ αἱ ἐπιθυμίαι ἡμῶν ἐπὶ τοῦ ὄρους τῆς οὐρανίου Πατρίδος, ἢ διασκεδάννυνται εἰς τὰς κοιλάδας τῶν κοσμικῶν ματαιοτήτων, καὶ καταπαύουσιν εἰς τὰ φθειρόμενα ἀγαθά; « τὰ ἄνω, κατὰ τὸν Ἀπόστολον, φρονοῦμεν, ἢ τὰ ἐπὶ τῆς γῆς (α); τὰ μὴ βλεπόμενα καὶ αἰώνια σκοποῦμεν, ἢ τὰ βλεπόμενα, καὶ πρόσκαιρα (β) »; διανοούμεθα ἆρα περὶ τῆς μελλούσης ἡμῶν κρίσεως; ἑτοιμαζόμεθα ἀποχωρισθῆναι ἀπὸ τοῦ ὁρατοῦ κόσμου; ἀναμένομεν τὴν μέλλουσαν Βασιλείαν, καὶ τὴν ἔνδοξον ἐξ οὐρανοῦ κάθοδον τοῦ Κυρίου ἡμῶν;

Οὐκ οἴδαμεν ποίᾳ ὥρᾳ ὁ Κύριος ἡμῶν ἔρχεται (γ)»· «ἀλλ' ἥξει καὶ οὐ χρονιεῖ ». Ἐπ' αὐτῆς ἔτι τῆς Ἀναλήψεως τοῦ Κυρίου οἱ Ἄγγελοι ἐβεβαίωσαν τοὺς πιστούς, ὅτι « ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς ἀπ' αὐτῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσαντο αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν (δ) ». Τί λοιπόν, ἀδελφοί, ἔσται ἡμῖν, ὁπόταν ἐπιφανῇ ὁ Κύριος, καὶ ἀποκαλυφθῇ δικαιοκρισία; ἐσόμεθα ἆρα μέτοχοι τῆς θείας εὐλογίας; Ἀλλ' ὁ μήτε τὴν διάνοιαν μήτε τὴν καρδίαν συγγενεύσας πρὸς τὸν Κύριον, ποῖον ἔλεος ἀναμένει ἔπειτα παρὰ τοῦ Κυρίου; ὁ κατασκευάσας διὰ τῆς πολιτείας καὶ τῶν ἔργων μόνιμον κατοικίαν ἐπὶ τῆς γῆς, πῶς ἔσται κάτοικος τοῦ οὐρανοῦ; ὁ μόνον ὑπὸ τῶν ἡδονῶν τοῦ κόσμου τρεφόμενος, οὗτος ἀξιωθήσεταί ποτε τῆς θείας μακαριότητος; οὐ θέλω ἐκφοβεῖν ὑμᾶς δι' ἐκείνων τῶν τρόμων, δι' ὧν τρωθήσονται οἱ ἁμαρτωλοί, οἱ ψευδώνυμοι χριστιανοί, ἐπὶ τῆς δικαίας τοῦ Θεοῦ κρίσεως· οἱ τρόμοι ἐκεῖνοι τοσοῦτόν εἰσι μεγάλοι, ὥστε οὐχ ὑποκύπτουσιν οἱᾳδήποτε ἐπιγείῳ γραφίδι· στρέφομαι δὲ μᾶλλον μετ' εἰλικρινοῦς προτροπῆς πρὸς ἐμαυτόν, καὶ πρὸς ὑμᾶς, ἀδελφοί· ἕως ὁ θεῖος οἰκοδεσπότης προσκαλεῖ ἡμᾶς, ἕως ὁ οὐράνιος θάλαμος οὔπω ἐκλείσθη, ἕως ὁ μακάριος δεῖπνος οὔπω παρατίθεται τοῖς ἐκλεκτοῖς, σπεύσωμεν ὠφεληθῆναι ἀπὸ τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ ἡμῶν, σπουδάσωμεν εἰσελθεῖν εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν, ἐξιλεώσωμεν αὐτὸν ταῖς πρεσβείαις τῆς ὑπεραγίας καὶ ὑπερευλογημένης Μητρὸς αὐτοῦ, τῶν ἱερῶν αὐτοῦ Μαθητῶν καὶ Ἀποστόλων καὶ πάντων τῶν Ἁγίων, ἵνα ὁ Κύριος ταῖς ἱκεσίαις αὐτῶν ἐλεήσῃ καὶ σώσῃ πάντας ἡμᾶς, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος.

(α) Κολασ. Γ'. 2. (β) Β'. Κορ. Δ'. 18. (γ) Ματθ. ΚΔ'. 42. (δ) Πράξ. Α'. 11.



Καὶ οὕτως, ἀδελφοί, ἔδωκεν ἡμῖν ὁ Κύριος κατὰ τὸ μέτρον τῆς πίστεως ἡμῶν φῶς καὶ διάνοιαν, ἵνα ἴδωμεν καὶ γνωρίσωμεν τὴν μεγάλην αὐτοῦ σοφίαν, τὴν ἐνοῦσαν ἐν τῇ Ἱερᾷ καὶ θείᾳ Λειτουργίᾳ· κατηξίωσεν ἡμᾶς νοερῶς θεωρεῖν τὴν ἁγίαν Γῆν, καὶ πνευματικῶς προσκυνεῖν τοὺς ἱεροὺς τόπους· ἀλλὰ καθὼς οὐδεὶς εὐσεβὴς προσκυνητὴς ἐγκαταλιμπάνων τὴν ἁγίαν Γῆν, δύναται μὴ τιμῆσαι αὐτὴν δι' ἑνὸς ἔτι εὐλαβητικοῦ βλέμματος, οὕτω καὶ ἡμεῖς, ἀποπερατοῦντες τὰς περὶ τῆς θείας λειτουργίας σκέψεις ἡμῶν, οὐ δυνάμεθα μὴ ποιῆσαι μίαν ἔτι γενικὴν σύνοψιν τῆς μεγάλης ταύτης Λατρείας.

Ἡ ἱερὰ Λιετουργία ἐστὶν ἀληθῶς ἡ ὑψηλοτέρα καὶ ἁγιωτέρα πασῶν τῶν χριστιανικῶν ἱλαστηρίων τελετῶν. Ὁ πλοῦτος τῶν νοημάτων αὐτῆς ἀνεξιχνίαστος, τὸ ὕψος τῶν μυστηρίων ἀκατάληπτον, οἱ πνευματικοὶ θησαυροὶ ἀμέτρητοι καὶ ἀνεξάντλητοι. Ἡ ἱερὰ Λειτουργία τὸν εὐκτήριον οἶκον τοῦ Θεοῦ μεταβάλλει εἰς ἐπίγειον οὐρανόν, ὅπου τὸ πᾶν καταυγάζεται ὑπὸ θείου φωτός. Ἡ ἱερὰ Λειτουργία ἐναφιδρύει ἐν τῷ μέσῳ τῆς κοιλάδος τοῦ κόσμου τὸν θεῖον καὶ ἀνεκλάλητον ἐκεῖνον Παράδεισον, καὶ παρέχει τῷ χριστιανῷ προαπογεύεσθαι τῆς οὐρανίου Βασιλείας. Οὐκ ἔστιν ἀρετή, ἣν αὕτη οὐ καθαγιάζει· οὐκ ἔστιν ἁμάρτημα, ὅπερ οὐ διορθοῖ· οὐκ ἔστι θλῖψις, ἣν οὐ καταγλυκαίνει. Ἡ ἱερὰ Λειτουργία πληροῖ οὐρανίου ζωῆς πᾶσαν τὴν οὐσίαν τοῦ ἀνθρώπου, καὶ τελειοῖ πάσας αὐτοῦ τὰς δυνάμεις καὶ πάσας τὰς αἰσθήσεις· φωτίζει τὸν νοῦν, διότι ἐκτὸς τοῦ Συμβόλου τῆς πίστεως, περιέχονται ἐν αὐτῇ πάντα τὰ οὐσιώδη ἄρθρα τῆς χριστιανικῆς διδασκαλίας, καὶ τὸ μυςήριον τῆς Παναγίας Τριάδος, καὶ τὸ μυστήριον τῆς ἐνσαρκώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἡ μέλλουσα ἀποκατάστασις τοῦ κόσμου καὶ τῶν ἀνθρώπων· ἀποκεκαλυμμέναι εἰσὶν ἐν αὐτῇ αἱ παραμυθητικαὶ ἔννοιαι περὶ τῆς παναμώμου Μητρὸς τοῦ Θεοῦ, καὶ περὶ τῶν ἄνω οὐρανίων Δυνάμεων. Αὕτη καθαρίζει τὴν φαντασίαν, διότι παρίστησιν εἰς τὸ νοερὸν ὄμμα τοῦ χριστιανοῦ πλῆθος ἱερῶν καὶ θείων φαινομένων· μεταφέρει, οὕτως εἰπεῖν, εἰς τὸ κράτος τῆς ψυχῆς αὐτοῦ ὅλον τὸν οὐράνιον Παράδεισον· εὐθύνει τὴν καρδίαν, διότι

SISMANOGLIO MEGARO

διδάσκει τὸν φόβον τοῦ Θεοῦ, τὴν προσευχὴν, τὴν μετάνοιαν, τὴν πίστιν καὶ τὴν ἀγάπην· ἁγιάζει τὴν ψυχὴν καὶ τὸ σῶμα τοῦ χριστιανοῦ, διότι καταξιοῖ αὐτὸν τῆς κοινωνίας τῶν θείων Μυστηρίων, καὶ καθιστᾷ αὐτὸν ζωοδόχον σκηνὴν αὐτοῦ τοῦ Κυρίου.

Σῶτερ ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ! Εὐλογοῦμεν τὴν ἀκατάληπτον ὑπὲρ τῆς σωτηρίας ἡμῶν οἰκονομίαν Σου, τὴν θείαν Σου σάρκωσιν καὶ τὴν γέννησιν, τὸ σωτήριόν Σου πάθος καὶ τὸν θάνατον, τὴν φωτοφόρον Σου ἀνάστασιν, τὴν ὑπερουράνιον ἀνάληψιν, καὶ τὴν μέλλουσαν ἔνδοξόν Σου ἔλευσιν! Εὐχαριστοῦμεν τὴν ἀνεκλάλητόν Σου ἀγάπην, τὴν ἀποκαλύψασαν ἡμῖν τὸν μυστικὸν Δεῖπνον εἰς ἀνάμνησιν τῆς μεγάλης ὑπὲρ ἡμῶν οἰκονομίας Σου, καὶ δωρησαμένην ἡμῖν ἐν τῇ ζωοποιῷ καὶ σωτηριώδει τροφῇ τὸ ἄχραντον σῶμά Σου καὶ τὸ πανακήρατον αἷμά Σου! Ἐξαιτούμεθα τὴν ἄπειρόν Σου εὐσπλαγχνίαν, ὅπως καταξιώσῃς ἡμᾶς καὶ ἐν τῇ μελλούσῃ Βασιλείᾳ Σὲ εὐλογεῖν, Σοὶ εὐχαριστεῖν καὶ Σὲ προσκυνεῖν, καὶ παραλάβῃς ἡμᾶς ἐκ τῆς ἐλάσσονος ταύτης τῆς ἐν τῷ ἐπιγείῳ ναῷ διακονίας Σου εἰς τὴν μεγίστην Σου διακονίαν τὴν ἐν ταῖς οὐρανίαις σκηναῖς. Ναὶ, Κύριε! Ἀμήν.

3 Ἰουλίου 1841 ἔτει.

Πρωτοπαπᾶς, Βασίλειος Νόρδωβ.

Μετάφρασις Ἀγαθαγγέλου Ἱεροδιακόνου Ῥιλλιώτου διδάκτορος τῆς Θεολογίας ἐκ τῶν τροφίμων τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς.